

Bodleian Libraries

UNIVERSITY OF OXFORD

This book is part of the collection held by the Bodleian Libraries and scanned by Google, Inc. for the Google Books Library Project.

For more information see:

http://www.bodleian.ox.ac.uk/dbooks

This work is licensed under a Creative Commons Attribution-NonCommercial-ShareAlike 2.0 UK: England & Wales (CC BY-NC-SA 2.0) licence.

N.1.21[illegible] RDJ

F. Hanow.
Born 1857.

ASHMOLEAN LIBRARY
OXFORD

Ex Libris
EDUARD FRAENKEL
Corpus Christi Professor of Latin, 1935–53

1970

Eduard Fraenkel

302971524X

ANAXIMENIS

ARS RHETORICA

QUAE VULGO FERTUR

ARISTOTELIS AD ALEXANDRUM.

RECENSUIT ET ILLUSTRAVIT

LEONARDUS SPENGEL

MONACENSIS.

LEIPZIG,
VERLAGSBUREAU.
1847.

Druck von Otto Wigand.

ASHMOLEAN
OXFORD
MUSEUM

PROLEGOMENA.

Cum rari sint huius artis scripti libri nec ullus eorum vetustate praestet, plures, ut textus natura melius perspiceretur, in usum nostrum conferendos curavimus. aderant nobis ad emendandum hae copiae:

A Parisinus 2038 chartaceus saec. XV.

B Urbinas 47, a Bekkero cui est B^c excussus; conf. Brandis de codicibus Aristotelis in bibl. Vatic. 215.

C Parisinus 2039.

D Florentinus plut. LXXXVI, 19. fol. 167 b—196. saec. XIV autore Bandinio. [1])

E Florentinus plut. XXXI, 14. fol. 106—44.

F Florentinus plut. LX, 18. fol. 110—56, manu Philelphi Constantinop. 1427 scriptus.

G Venetus 215.

M Monacensis LXXV, scriptus *αφν̄ μαρτίω κ̔ς̔ χειρ πέτρου καρνεάδου ἐκ μονεμβασίας.*

V Palatinus 160, a Bekkero cui est V^b excussus; conf. Brandis 197. in fine *ἐγράφη ἐν Φλωρεντίᾳ παρ' ἐμοῦ Θετταλοῦ Ἰωάννου τοῦ Σκουταριώτου.* unde

---

[1]) Fr. Furia non saec. XIV, sed XV exeunte scriptum fuisse putat, propterea quod in eodem hoc codice S. Thomae Aquinatis interpretatio in Arist. libros a Georgio Scholario, qui saec. XV floruit, graece versa continetur.

istum librum, qui cum Florentino D mire consentit, ex hoc descriptum esse coniicio. [1])

Imm. Bekkerus codicum BV auxilio, quibus in epistola specimen Q (Marciani 200) accedit, vulgatam lectionem ex Aldi libro ductam conformavit; raro, sed more suo egregie coniecit, ut cap. 2 *τριττῶς* pro *περιττῶς*, cap. 36 *ἀλυσιτελὲς* pro *λυσιτελές*, quae, ut res flagitabat, haud cunctantes recepimus. nos qui maiore librorum copia instructi multa interpolata esse intelleximus, plura aut codicum autoritate mutavimus aut ingenio confisi coniecimus secutique sumus plerumque quam in CFM invenimus recensionem. ex hac margini Venetae editionis plures adscriptae sunt lectiones [2]), nunc primum integram cognovimus. eius generis fuit Victorii codex, cuius varietatem Aldino exemplo (in Bibl. Monac.) addidit, idem haud dubie cum Philelphi libro, h. e. F, unde illum, nisi novum inerat, negleximus; alterum enim codicem Victorium inspexisse, eius verba ad cap. 30 confirmant, ubi, cum vulgo legatur *δι' ἑτέρων* quod sensu caret, adscripsit: *πρᾶξιν ἑτέραν, alius codex πάλιν ἑτέραν.* posterius hoc exhibent CFM et margo Venetae, at nullus codex habet *πρᾶξιν ἑτέραν.* idem cap. 4 *ὧδε ὁρίζῃς* et cap. 7 *πράγματα* pro *τῷ πράγματι* habet, quae lectiones aliunde non cognitae sunt.

Aldinae editionis fontem non invenimus, et liber quo usus est Demetrius Ducas aut latet ignotus, aut, quod pro-

---

[1]) Florentini autore Fr. Furia collati sunt; Parisinos excussit Vir doctissimus E. Miller, Venetum amicus Dr. Prantl, Monacensem ipse inspexi. In Vaticana latent qui non comparati sunt

Ottob. 178. chart. rec. ap. Brandisium 206.
Vatic. 1580. membr. rec. — 207.

[2]) magis cum M quam cum CF lectiones conveniunt; at Monacensis scriptus est Mart. 26 anni 1550, editio vero excusa est *MDXLVI.* sequitur ergo codicem, unde M descriptus est. Camotius quoque libro Monacensi haud dissimili usus est.

babilius est, editor ex pluribus codicibus verborum contextum constituit; insunt enim etiam quae recensioni librorum CFM propria sunt neque in ceteris inveniuntur; cap. 28 sola *διέλθοις* pro eo quod codices omnes praestant *διέλοις* exhibet, coniectura, ni fallor, sed certa et iusta illatum.

Proxime accedit Aldus Florentinum E et Venetum G, qui ut nulla virtute praestant, ita non negligendi sunt. in his enim cap. 34 propter repetitum *τυγχάνουσιν* tres versus medii interciderunt; desunt etiam in Aldina editione, atque tali mutilo libro usus est, qui suo Marte verbis quae in B et mrg. A leguntur locum supplevit; in eodem capite larga varietas fortasse explicanda est, quod repetito verbo *βοηθεῖν* media in pluribus ut in E deerant. similem lacunam olim in fine operis cap. 38 exstitisse facile probabis ex diversa lectione; CFM enim non id quod ceteri habent *ἀναμνήσομεν τοὺς ἀκροατὰς τὰ πραχθέντα ἐν κεφαλαίῳ αὖθις εἰπόντες* praebent, sed aliis verbis eandem sententiam, *μνημονικοὺς ποιήσομεν ἐκ τοῦ πάλιν λέγειν κεφαλαιωδῶς περὶ τῶν πεπραγμένων*, quae varietas quomodo nasci potuerit, nisi quis quae in libro suo deessent ex ingenio supplevit, equidem non video. interpolata vero esse puto hoc in loco verba codicum CFM, unde de praestantia huius recensionis, quam saepe secuti sumus, dubitare licet. haec ratio est, qua moti non ubique eam probavimus; cognovimus quidem omnes qui artem criticam exercemus ex Bekkeri instructissimis copiis in Platonem, Demosthenem, Isocratem, Aristotelem, contextum ex pluribus recensionibus mixtum in illis scriptoribus quam maxime esse removendum, at ubi rari et corrupti sunt libri neque est qui ceteris longe praestet, vitare non potes quin modo huius modo illius familiae praeferas lectionem. insunt enim multa quae sive ex vetusto libro sive ex ingenio illata probanda erant, v. c. cap. 1 *ἐν τοῖς μάλιστα αὐτῶν χρῆσίς ἐστι* pro *τοῖσδε*, cap. 4 *ἑκατέρου*

δὲ τῶν εἰδῶν τὰς δυνάμεις τὰς αὐτὰς ἔχοντος pro ἐχόντων, aliaque quae orationis concinnitas aut constans autoris usus flagitabat. Cap. 26 DV δεῖ δὲ καὶ τὴν σύνθεσιν τῶν ὀνομάτων μήτε συγκεχυμένην μήτε ὑπερβατὴν omisso verbo, quod in vetustis libris excidisse videtur, unde ABEG ὑπερβατὴν εἶναι, CFM ὑπερβατὴν ποιεῖν, quod non recepimus. per ὁμοιοτέλευτον exciderunt cap. 29 in CDFMV γέροντι δὲ προφασιστέον, cap. 30 in CFMVprA ἀπὸ μὲν οὖν τῶν πραγμάτων, quae quin genuina sint noli dubitare. sed sunt loci in quibus lacunam facile deprehendes, nullus tamen liber verba quae exciderunt servavit, ut cap. 14; at cap. 7 CFM male ἢ πλουτοῦντες addunt, quae verba ibi aliena sunt. cap. 30 σαφῶς μὲν ὅπως καταμάθωσι τὰ λεγόμενα πράγματα, CFM καταλαμβάνηται. id improbavimus, quod aoristi sequuntur ἵνα μνημονεύσωσι et ὅπως . . . ἀποδοκιμάσωσι et autor coniunctioni ὅπως aoristi coniunctivum quod plurima docent exempla addit. cap. 2 ἕως ἂν πέσωσιν, om. CFM ἄν, quos non secuti sumus.

Haec dicta sint, ne quis nos interpolatam lectionem aut inepte modo hanc modo illam induxisse accuset; nam in hoc libro multo plura ex ingenio quam ex codicibus sunt restituenda. equidem sane neminem novi qui dedita opera hanc egregiam artem nimis neglectam exponeret aut emendaret praeter Herm. Sauppium qui in epistola critica ad Godofr. Hermannum p. 149 — 51 ex via et ratione, quam autor secutus est, octo locos mutilos indicavit et supplevit; nos hac ratione integrum libellum excussimus.

Sed criticam rationem in hoc libro exercitam minoris esse momenti censeo; ubique enim facile invenies quid autor voluerit, etiamsi verba saepius incerta nec fortasse sana sint; artem ipsam maxime attendi eamque ita enarravi, ut ex oratorum Atticorum exemplis eius praecepta illustrarem; iure enim gloriari potuit, qui hanc invenit,

ὅτι πρώτιστος ἐπενόησα
καὶ τοῖς νόμοις καὶ ταῖς δίκαις τἀναντί' ἀντιλέξαι.
καὶ τοῦτο πλεῖν ἢ μυρίων ἔστ' ἄξιον στατήρων,
αἱρούμενον τοὺς ἥττονας λόγους, ἔπειτα νικᾶν.

haec priorum inventa posteriores augebant et amplificabant, iuniores discebant, oratores adhibebant. Quodsi fortasse sunt qui ignorent, quid sit istud *τὸν ἥττω λόγον κρείττω ποιεῖν*, id hoc libro perlecto optime intelligent, neque Platonem hanc oratoriam artem, *πειθοῦς δημιουργόν*, iniuria contemsisse perspicient. Nos quod graecum non novimus librum, qui melius has sophistarum praestigias doceret, eum commentario illustravimus, et cum saepe eadem res in utramque sententiam examinaretur, integros oratorum locos congessimus, ut ipsi lectores, quantum et praecepta orationibus essent accommodata et oratores hanc artem colerent, iudicio suo comprobarent. non ex animi quidem sententia res processit, cum multis praeceptis desint exempla; non enim omnia in iis quae supersunt orationibus inveniuntur, plura fortasse nos latuerunt, sed haec alii compleant, nobis huius enarrationis iecisse fundamenta sufficit. solos Atticos oratores, quibus Thucydides qui magna utitur in orationibus componendis arte addendus est, attendimus, posteriores rhetores Aristidem, Libanium, alios negleximus, ne Ciceronem quidem, qui largam argumentorum et exemplorum segetem praebet, in graeco scriptore explicando laudandum esse putavimus. haud dubie immerito, sed Romanum oratorem aptissimum esse quo autorem ad Herennium illustremus censemus; huius enim librum nostro multo praestantiorem esse dicimus, quod ars eius est magis perfecta et omnia egregiis Ciceronis exemplis aperta fiunt, ibique nos hanc commentandi rationem, si qui fortasse hic accusabunt, omnibus probaturos esse speramus.

Restat ut de autore huius artis pauca dicamus. Aristo- cf. adversantem V. Rose de Ar. libr. p. 101.

telem esse codices omnes consentiunt; sed cum et dicendi et docendi ratio ab illa philosopho propria nimium abhorreat, iam Desiderius Erasmus in praefatione editionis 1530 huius esse negavit, neque quisquam contrariam defendit sententiam praeter L. Lersch, qui nuperrime in libro, qui inscriptus est: Die Sprachphilosophie der Alten II p. 280—90, et postquam ego illa refutavi (Zeitschrift für Alterthumswissenschaft 1840 Nr. 154—5), denuo in Museo Rhenano tom. I. Aristotelem haec composuisse sibi persuasit. Quo motus ipse in commentario quae distant paucis indicare institui, sed cum omnia fere alia esse viderem, nihil vero quod illi conveniret, ne ineptus perspicua tractans tempus perderem, omisi; qui enim philosophi opera plane perdidicit eiusque morem et inventionis et elocutionis, quem ex plurimis quae supersunt scriptis tenere difficile non est, cognitum habet, ubique alium in hoc libro autorem inveniet; qui non legit, eum frustra etiamsi plurima congesseris argumenta docebis. Haec enim ars in oratorum usum, ut in utramque sententiam probabiliter dicas, composita est; quo fit, ut verum non curet, verisimile ubique sectetur. id Aristotele prorsus indignum est; non enim artem docet, ut quocunque modo adversarium vincas, sed ut in omnibus causis verum invenias et perspicias, qui si semel iterumque ad illud persuadendi genus delabi videatur, id artis levitate, non autoris consilio factum esse credas. nam longissime abest, qui hanc docendi rationem profiteatur. adde praecepta eorumque nomina alia esse neque cum iis convenire quae in genuinis leguntur Rhetoricis. Autor noster omnia exempla ipse fingit nec ullum laudat oratorem, Aristoteles nullum de suo dat exemplum, omnia ex oratoribus collegit, quod quantum distet, principium quarti libri scriptoris ad Herennium docet; illud rhetorem qui ipse perorat decet, hoc philosophum, qui praecepta artis a se pleraque inventa autoritate confirmare

studet. Iam quid de elocutione dicam prorsus ab illa Aristotelis aliena? v. c. noster dicit *διειλόμην*, *διωρισάμην*, *διεξῆλθον*, *εἶπον*, Aristoteles nunquam singulari, semper multitudinis utitur numero, et sic innumerabilia quae enumerare longum est.

Aristotelis ergo non esse librum constat, Anaximenem vero autorem esse primus in praefatione ad Arist. Rhetor. Petrus Victorius ex Quintiliani III, 4 confirmavit; *τὸ ἐξεταστικὸν εἶδος* proprium est huic scriptori, ut Quintiliani Anaximenem eundem cum nostro autore optimo iure esse omnes iudicarent, neque in re tam gravi falli potuit Romanus rhetor, qui hunc Aristoteli opponit, ut inanis sit, qui eum haec finxisse fingat. quod unum Victorii iudicio adversabatur, duo genera laudare Quintilianum, tria in nostri libri initio legi, id nos nulla fraude aut temeritate adhibita removimus. Sed sunt alia quae non reticebimus; Harpocration s. v. *Ἀλκίμαχος* haec dicit: *Ἀναξιμένης δὲ ἐν τῇ δευτέρᾳ τῶν περὶ Ἀλέξανδρον ἀνέγραψεν αὐτοῦ δημηγορίαν, πρὸς ἣν ἀντειπεῖν φησι Δημοσθένην.* coniicias *πρὸς Ἀλ.* et, quod de oratore loquitur, rhetoricos libros Alexandro missos intelligas; qui vero nunc superest, unus est neque in eo quidquam maioris momenti desideratur. at nimis dubia est ista coniectura et Dionysius tradit: *τέχνας ἐξενήνοχε.* in ipsa arte cap. 4 *ἐπιχειρήματα* et 29 *προγυμνάσματα* posteriorem aetatem prodere existumes, deest vero omnis *στάσεων* mentio rhetoribus tantopere agitata, ut potius illa iam tum Anaximenis aetate nota fuisse, quam artem recentiorem esse credamus. haec ipsa simplex et nulla difficultate est obruta; inventioni adhaerent capp. 22—28 quae elocutionem adiuvant, adumbrata magis quam elaborata; neque *λέξεως* nomen ibi invenitur. denique capp. 29—37 partes orationis, quae et quales et quo ordine singulae sint ponendae, examinat; his dispositionem contineri ipse cap. 28

indicat. ergo inventionem elocutionem dispositionem tractat autor, ut Aristoteles. neque tamen huius libros ei notos fuisse ullo argumento confirmari potest; quae enim similia sunt, ex re ipsa et communi omnium rhetorum usu sunt sumpta; Isocratem potius et priores technicos ab omni philosophia alienos probat; aperte Archidamum respici cap. 29 adnotavimus, sed Aeschinis quoque et Demosthenis sunt loci quos secutus esse videtur noster. Si verba cap. 37 *δεῖ δὲ πικρῷ τῷ ἤθει μὴ ἐξετάζειν ἀλλὰ πραεῖ* ex Demosthenis oratione de corona §. 265 sumpta sunt: *ἐξέτασον τοίνυν παράλληλα τὰ σοὶ κἀμοὶ βεβιωμένα πράως, μὴ πικρῶς*, neque fortasse orator vulgare artis praeceptum in usum suum convertit, quod, quum autori proprium sit *τὸ ἐξεταστικόν*, probabile non videtur, hunc librum post Olymp. CXII, 3=330, quo anno causa Ctesiphontea acta est, scriptum esse constat; adde exempla cap. 8 laudata, quorum ultimum ad Olymp. CIX, 1=340 pertinet.

Eadem ratione, qua hic liber Anaximenis, Aristotelis nobis rhetorica expolita est, quo factum, ut saepius ad ea quae ibi congessimus lectores reiiceremus; noluimus enim ibi exposita huc transferre. quodsi haec non displiceant, illos quoque commentarios maximam partem absolutos haud inviti communicabimus.

[ΡΗΤΟΡΙΚΗ ΠΡΟΣ ΑΛΕΞΑΝΔΡΟΝ.

ΑΡΙΣΤΟΤΕΛΗΣ ΑΛΕΞΑΝΔΡΩΙ ΕΥ ΠΡΑΤΤΕΙΝ.

Ἐπέστειλάς μοι ὅτι πολλάκις πολλοὺς πέπομφας πρὸς ἡμᾶς τοὺς διαλεξομένους ὑπὲρ τοῦ γραφῆναί σοι τὰς μεθόδους τῶν πολιτικῶν λόγων· ἐγὼ δὲ οὐ διὰ ῥᾳθυμίαν ὑπερεβαλλόμην ἐν τούτοις τοῖς χρόνοις, ἀλλὰ διὰ τὸ ζητεῖν οὕτως ὑπὲρ αὐτῶν γραφῆναί σοι διηκριβωμένως ὡς οὐδεὶς ἄλλος γέγραφε τῶν περὶ ταῦτα πραγματευομένων. ταύτην δὲ εἰκότως τὴν διάνοιαν εἶχον· ὥσπερ γὰρ ἐσθῆτα σπουδάζεις τὴν εὐπρεπεστάτην τῶν λοιπῶν ἀνθρώπων ἔχειν, οὕτω δύναμιν λόγων λαβεῖν ἐστί σοι πειρατέον τὴν εὐδοξοτάτην· πολὺ γὰρ κάλλιόν ἐστι καὶ βασιλικώτερον τὴν ψυχὴν ἔχειν εὐγνωμονοῦσαν ἢ τὴν ἕξιν τοῦ σώματος ὁρᾷν εὐειματοῦσαν. καὶ γὰρ ἄτοπόν ἐστι τὸν τοῖς ἔργοις πρωτεύοντα φαίνεσθαι τῶν τυχόντων τοῖς λόγοις ὑστερίζοντα, καὶ ταῦτα εἰδότα ὅτι τοῖς μὲν ἐν δημοκρατίᾳ πολιτευομένοις ἡ ἀναφορὰ περὶ πάντων τῶν πραγμάτων εἰς τὸν νόμον ἐστί, τοῖς δ' ὑπὸ τὴν τῆς βασιλείας ἡγεμονίαν τεταγμένοις πρὸς λόγον. ὥσπερ οὖν τὰς αὐτονόμους τῶν πόλεων διορθοῦν εἴωθεν ἐπὶ τὸ κάλλιστον ἄγων ὁ κοινὸς νόμος, οὕτω τοὺς ὑπὸ τὴν σὴν βασιλείαν καθεστῶτας

---

4. σοι om. EG. 6. ὑπερεβαλόμην ACFMQV et prB. ἀλλὰ τὸ διαζητεῖν Q. 7. ἄλλος οὐδεὶς C. 11. δύναμιν] εὕρεσιν CF, εὑρες prC. ἐνδοξοτάτην CFM. 13. ἢ] καὶ Q. 14. εὐιματοῦσαν DEGQ. πρωτεύοντας et ὑστερίζοντας E. 16. ταύτην B. 18. νόμον C. Fr. Hermannus: δῆμον libri.

ἄγειν δύναιτ' ἂν ἐπὶ τὸ συμφέρον ὁ σὸς λόγος. καὶ γὰρ ὁ νόμος ἐστὶν ὡς ἁπλῶς εἰπεῖν λόγος ὡρισμένος καθ' ὁμολογίαν κοινὴν πόλεως, μηνύων πῶς δεῖ πράττειν ἕκαστα. πρὸς δὲ τούτοις οὐκ ἄδηλον ὡς οἶμαί σοι τοῦτό ἐστιν, ὅτι τοὺς μὲν λόγῳ χρωμένους καὶ μετὰ τούτου πάντα πράττειν προαιρουμένους ὡς ὄντας καλούς τε καὶ ἀγαθοὺς ἐπαινοῦμεν, τοὺς δὲ ἄνευ λόγου τι ποιοῦντας ὡς ὄντας ὠμοὺς καὶ θηριώδεις μισοῦμεν. διὰ τούτου καὶ κακοὺς τὴν αὐτῶν κακίαν ἐμφανίσαντας ἐκολάσαμεν, καὶ τοὺς ἀγαθοὺς δηλώσαντας αὐτῶν τὴν ἀρετὴν ἐζηλώσαμεν. τούτῳ καὶ τῶν μελλόντων κακῶν ἀποτροπὴν εὑρήκαμεν, καὶ τῶν ὑπαρχόντων ἀγαθῶν ὄνησιν ἔσχομεν. καὶ διὰ τούτου καὶ τὰς ἐπιούσας δυσχερείας ἐφύγομεν, καὶ τὰς μὴ προσούσας ἡμῖν ὠφελείας ἐπορισάμεθα· ὥσπερ γὰρ βίος ἄλυπος αἱρετός, οὕτω λόγος συνετὸς ἀγαπητός. εἰδέναι δέ σε δεήσει ὅτι παραδείγματά ἐστι τοῖς πλείστοις τῶν ἀνθρώπων τοῖς μὲν ὁ νόμος τοῖς δὲ ὁ σὸς βίος καὶ λόγος. ὅπως οὖν διαφέρων ἧς πάντων Ἑλλήνων καὶ βαρβάρων, πᾶσάν ἐστί σοι σπουδὴν ποιητέον, ἵνα τὴν ἐκ τούτων ἀπομίμησιν οἱ περὶ ταῦτα διατρίβοντες τοῖς τῆς ἀρετῆς στοιχείοις καλλιγραφούμενοι μὴ πρὸς τὰ φαῦλα σφᾶς αὐτοὺς ἄγωσιν, ἀλλὰ τῆς αὐτῆς ἀρετῆς μετέχειν ἐπιθυμῶσιν. ἔτι δὲ τὸ βουλεύεσθαι τῶν περὶ τὸν ἄνθρωπον θειότατόν ἐστιν, ὥστε οὐκ εἰς τὰ πάρεργα καὶ μηδενὸς ἄξια τὴν σπουδήν ἐστί σοι καταναλωτέον, ἀλλὰ τὴν μητρόπολιν αὐτὴν τοῦ καλῶς βουλεύεσθαι μαθεῖν βουλητέον. τίς γὰρ δὴ τοῦτ'

---

1. σὸς om. ABEGV. 4. δὴ CM. ὡς om. ABEGM. 8. τοῦτο DQV. 9. κακοὺς] immo τοὺς κακούς. 10. ζηλώσαντας B. αὐτῶν τὴν] immo τὴν αὐτῶν. 11. τούτῳ] οὕτω libri. 12. ἔχομεν C. καὶ διὰ] Fort. καὶ del. 13. τοῦτο BDEGQV. 14. μὴ om. BprC. 18. ἧς Basil.: ᾗ DG, εἰ ἢ Q, εἶ ceteri. 19. ἵνα] ἵνα μὲν BDQV. τούτου Bekkerus (ex BQV?). 22. ἄγουσιν CprF. ἀλλὰ καὶ τῆς M. μετέχειν om. DQprV. ἐπιθυμοῦσιν CprF. 24. περίεργα EG. 26. βούλεσθαι M. τοῦτ' F: πουτ' D, που Q, ποτ' ceteri.

ἂν ἀμφισβητήσειε τῶν νοῦν ἐχόντων ὅτι τὸ μὲν πράττειν μὴ βουλευσάμενον σημεῖόν ἐστιν ἀνοίας, τὸ δὲ κατὰ τὴν ὑφήγησιν τοῦ λόγου συντελεῖν τι τῶν ὑπ' ἐκείνου παραγγελθέντων παιδείας; ἰδεῖν δέ ἐστι πάντας τοὺς ἄριστα τῶν Ἑλλήνων πολιτευομένους λόγῳ πρῶτον ἢ τοῖς ἔργοις συγγινομένους, πρὸς δὲ τούτοις καὶ τοὺς μέγιστον ἀξίωμα τῶν βαρβάρων ἔχοντας τούτῳ πρὸ τῶν πραγμάτων χρωμένους, εἰδότας καλῶς ὡς ἀκρόπολίς ἐστι σωτηρίας ἡ διὰ τοῦ λόγου γινομένη τοῦ συμφέροντος θεωρία. ταύτην ἀπόρθητον οἰητέον, οὐ τὴν ἐκ τῶν οἰκοδομημάτων ἀσφαλῆ πρὸς σωτηρίαν εἶναι νομιστέον. ἀλλὰ γὰρ ὀκνῶ ἔτι πλείω γράφειν, μή ποτε καλλωπίζεσθαι δόξω περὶ τῶν ἀκριβῶς γνωριζομένων ὡς οὐχ ὁμολογουμένων πίστεις ἐπιφέρων. διόπερ ἀφήσω, ἐκεῖνα μόνον εἰπὼν περὶ ὧν ἔνεστι λέγειν εἰς ἅπαντα τὸν βίον, ὅτι τοῦτό ἐστιν ᾧ διαφέρομεν τῶν λοιπῶν ζῴων. τοῦτο οὖν καὶ ἡμεῖς διαφέρον τῶν λοιπῶν ἔξομεν ἀνθρώπων οἱ μεγίστης τιμῆς ὑπὸ τοῦ δαιμονίου τετυχηκότες. ἐπιθυμίᾳ μὲν γὰρ καὶ θυμῷ καὶ τοῖς τοιούτοις χρῆται καὶ τὰ λοιπὰ ζῷα πάντα, λόγῳ δὲ οὐδὲν τῶν λοιπῶν χωρὶς ἀνθρώπων. ἀτοπώτατον ἂν οὖν εἴη πάντων, εἰ τούτῳ μόνῳ τῶν λοιπῶν ζῴων εὐδαιμονέστερον βιοῦντες τὸ αἴτιον τοῦ καλῶς εἶναι διὰ ῥᾳθυμίαν ἀφῶμεν κατολιγωρήσαντες. διακελεύομαι δή σοι πάλαι παρακεκλημένῳ τῆς τῶν λόγων ἀντέχεσθαι φιλοσοφίας. καθάπερ γάρ ἐστι φυλακτικὸν σώματος ὑγίεια, οὕτω [τῆς] ψυχῆς φυλακτικὸν καθέστηκε παιδεία. ταύτης γὰρ προηγουμένης οὐ πταίειν συμβήσεταί σοι περὶ τὰς πράξεις, ἀλλὰ σώζειν ἁπάσας

---

5. πολιτουμένους G. λόγος C. συγγινομένοις C. 14. ἐκεῖνο prF. ἐστι FM. 16. διαφέρον] διαφερόντως DGQ. 17. ἔξωμεν Aldus. 18. μὲν om. F. 19. καὶ τὰ] καὶ περὶ τὰ M. ἅπαντα F. 20. ἂν οὖν] οὖν ἂν Bekkerus ex QV, δ' ἂν F, ἂν CM. 21. μόνον M. ζῴων om. C. 22. ἀφῶμεν om. C; immo ἀφεῖμεν. 23. σοι] μοι C. παρακεκλημένον B. 25. ὑγεία plerique. τῆς om. CDFMQV Bekkerus.

ὡς ἔπος εἰπεῖν τὰς ὑπαρχούσας σοι τῶν ἀγαθῶν κτήσεις. χωρὶς δὲ τῶν εἰρημένων, εἰ τὸ τοῖς ὀφθαλμοῖς βλέπειν ἡδύ, τὸ τοῖς τῆς ψυχῆς ὄμμασιν ὀξυδερκεῖν ἐστι θαυμαστόν. ἔτι δὲ ὥσπερ ὁ στρατηγός ἐστι σωτὴρ στρατοπέδου, οὕτω λόγος μετὰ παιδείας ἡγεμών ἐστι βίου. ταυτὶ μὲν οὖν καὶ τὰ τούτοις ὅμοια παραλιπεῖν νομίζω καλῶς ἡμῖν ἔχειν κατὰ τὸν ὑπάρχοντα καιρόν. ἔγραψας δέ μοι διακελευόμενος ὅπως μηδεὶς τῶν λοιπῶν ἀνθρώπων λήψεται τὸ βιβλίον τοῦτο, καὶ ταῦτα εἰδὼς ὅτι καθάπερ τοὺς ἐξ αὐτῶν γεννηθέντας οἱ γεννήσαντες τῶν ὑποβαλλομένων μᾶλλον φιλοῦσιν, οὕτω καὶ οἱ εὑρόντες τι τῶν μετεχόντων· ὥσπερ γὰρ ὑπὲρ τέκνων, τούτων τῶν λόγων ὑπεραποθνήσκουσιν. οἱ μὲν γὰρ Πάριοι λεγόμενοι σοφισταὶ διὰ τὸ μὴ τεκεῖν αὐτοὶ διὰ ῥᾳθυμίαν ἄμουσον οὐ στέργουσιν, ἀλλὰ χρήματα λαβόντες ἀποκηρύττουσιν. διὰ τοῦτο οὖν ἐγώ σοι παρακελεύομαι διαφυλάττειν οὕτω τοὺς λόγους τούτους, ὅπως νέοι καθεστῶτες ὑπὸ μηδενὸς [χρήμασι] διαφθαρήσονται, κοσμίως δὲ μετὰ σοῦ συμβιώσαντες, εἰς ἡλικίαν ἐλθόντες δόξης ἀκηράτου τεύξονται. παρειλήφαμεν δὲ, καθάπερ ἡμῖν ἐδήλωσε Νικάνωρ, καὶ τῶν λοιπῶν τεχνογράφων ὅστις τι γλαφυρὸν ὑπὲρ τῶν αὐτῶν τούτων γέγραφεν ἐν ταῖς τέχναις. περιτεύξῃ δὲ δυσὶ τούτοις βιβλίοις, ὧν τὸ μέν ἐστιν ἐμὸν ἐν ταῖς ὑπ' ἐμοῦ τέχναις Θεοδέκτῃ γραφείσαις, τὸ δὲ ἕτερον Κόρακος. τὰ δὲ λοιπὰ τούτοις ἰδίᾳ πάντα γέγραπται περί τε τῶν

παρά Tidi prop. V. Rose de Ar. libr. 104

---

2. *βλέπειν*] *βλάπτειν* **EG**. 3. *τὸ* **om. CFM**. *ὀξὺ δερκεῖν* **AC**, *ὀξυδορκεῖν* **Bekkerus ex QV**. 4. *τοῦ στρατοπέδου* **Buhle**. 5. *τουτὶ* **B**. 6. *ὑμῖν* **QprA**. 8. *λοιπῶν* **om. CEFGM**. 10. *αὐτῶν*] *αὐτοῦ* **QV**. 11. *οὕτω καὶ*] *οὕτως* **CDFMQV**. 12. *τούτων*] **Fort**. *οὕτω*. *ὑπεραποθνήσκουσιν* **EG**: *ὑπεραποτεθνήκασιν* **ceteri**. 16. *γοῦν* **Aldus**. 17. *καθεστηκότες* **D Bekkerus ex BQV**. 18. *χρήμασι* **om. ACD Bekkerus (ex BQV)**, **exstat in mg. A**. *βιώσαντες* **EG**. 21. *ὅστις* **BDQV**: *εἴ τις* **ceteri**. *τῶν* **om. EG**. 24. *δεοδέκτῃ* **B**, *θεοδέκτους* **C**. 25. *τὴν δὲ λοιπὴν* **DQV**. *τῶν* **ante** *πολ.* **om. B**.

πολιτικῶν καὶ τῶν δικανικῶν παραγγελμάτων· ὅθεν πρὸς ἑκάτερον αὐτῶν εὐπορήσεις ἐκ τῶνδε τῶν ὑπομνημάτων σοι γεγραμμένων. ἔῤῥωσο.]

Δύο γένη τῶν πολιτικῶν εἰσι λόγων, τὸ μὲν δημηγορικόν, τὸ δὲ δικανικόν. εἴδη δὲ τούτων ἑπτά, προτρεπτικόν, ἀποτρεπτικόν, ἐγκωμιαστικόν, ψεκτικόν, κατηγορικόν, ἀπολογητικόν, καὶ ἐξεταστικὸν ἢ αὐτὸ καθ' αὑτὸ ἢ πρὸς ἄλλο. τὰ μὲν οὖν εἴδη τῶν λόγων τοσαῦτα ἀριθμῷ ἐστι, χρησόμεθα δὲ αὐτοῖς ἔν τε ταῖς κοιναῖς δημηγορίαις καὶ ταῖς περὶ τὰ συμβόλαια δικαιολογίαις καὶ ταῖς ἰδίαις ὁμιλίαις. οὕτω δ' ἂν ἑτοιμότατον λέγειν περὶ αὐτῶν δυνηθείημεν, εἰ [καὶ] καθ' ἓν ἕκαστον εἶδος ἀπολαβόντες ἀπαριθμησαίμεθα τὰς δυνάμεις αὐτῶν καὶ τὰς χρήσεις καὶ τὰς τάξεις. καὶ πρῶτον μὲν τὰς προτροπὰς καὶ ἀποτροπάς, ἐπείπερ ἐν ταῖς ἰδίαις ὁμιλίαις καὶ ταῖς κοιναῖς δημηγορίαις ἐν τοῖς μάλιστα αὐτῶν χρῆσίς ἐστι, διέλθωμεν.

Καθόλου μὲν οὖν εἰπεῖν, προτροπὴ μέν ἐστιν ἐπὶ προαιρέσεις ἢ λόγους ἢ πράξεις παράκλησις, ἀποτροπὴ δὲ ἀπὸ προαιρέσεων ἢ λόγων ἢ πράξεων διακώλυσις. οὕτω δὲ τούτων διωρισμένων τὸν μὲν προτρέποντα χρὴ δεικνύειν ταῦτα ἐφ' ἃ παρακαλεῖ, δίκαια ὄντα καὶ νόμιμα καὶ συμφέροντα καὶ καλὰ καὶ ἡδέα καὶ ῥᾴδια πραχθῆναι· εἰ δὲ μή, δυνατά τε δεικτέον, ὅταν ἐπὶ δυσχερῆ παρα-

---

2. ἀπορήσεις **B**, om. **QV**. τῶν **mg. A**. 4. δύο] τρία **libri**. εἰσὶ τῶν πολ. **C**. δημηγορικόν] δημηγορικὸν τὸ δὲ ἐπιδεικτικὸν **libri**. 5. ἤδη **M**. 6. ψεκτὸν **BCFM**. κατηγορητικὸν **BCEFGMV**. 7. καὶ] **om. prA**, ἢ **EG**. 7. ἑαυτὸ **D**, αὑτῷ **F**. ἄλλο] **Fort.** ἄλλῳ. 8. ἐστὶν χρησώμεθα **D**. 10. δικαιολογίαις] **Fort.** δικολογίαις. 12. καὶ **om. E**. ἑνὸς **C**. 13. τάξεις] πράξεις **libri**. 16. τοῖς **CFM**: τοῖς δε **ceteri**, τοῖς [δὲ] **Bekkerus**. διέλθωμεν] διέλθομεν ἂν **D**, διέλθοιμεν ἂν **ceteri**. 17. μὲν **om. DV**. ἐπεὶ **E**. 19. προαιρέσεως **Aldus**.

καλῇ, καὶ ὡς ἀναγκαῖα ταῦτα ποιεῖν ἐστιν. τὸν δὲ ἀποτρέποντα δεῖ διὰ τῶν ἐναντίων κώλυσιν ἐπιφέρειν, ὡς οὐ δίκαιον οὐδὲ νόμιμόν ἐστιν οὐδὲ συμφέρον οὐδὲ καλὸν οὐδὲ ἡδὺ οὐδὲ δυνατὸν πράττειν τοῦτο· εἰ δὲ μή, ὡς ἐργώδες καὶ οὐκ ἀναγκαῖον. ἅπασαι δὲ αἱ πράξεις μετέχουσι τούτων ἀμφοτέρων, ὥστε μηδετέραν τῶν ὑποθέσεων ἔχοντα λόγων ἀπορεῖν. ὧν μὲν οὖν ὀρέγεσθαι δεῖ τοὺς προτρέποντας καὶ ἀποτρέποντας, ταῦτά ἐστιν· ὁρίσασθαι δὲ πειράσομαι τούτων ἕκαστον τί ἐστι, καὶ δεῖξαι πόθεν αὐτῶν εἰς τοὺς λόγους εὐπορήσομεν. δίκαιον μὲν οὖν ἐστι τὸ τῶν ἁπάντων ἢ τὸ τῶν πλείστων ἔθος ἄγραφον, διορίζον τὰ καλὰ καὶ τὰ αἰσχρά. τοῦτο δ' ἐστὶ τὸ γονέας τιμᾷν καὶ φίλους εὖ ποιεῖν καὶ τοῖς εὐεργέταις χάριν ἀποδιδόναι· ταῦτα γὰρ καὶ τὰ τούτοις ὅμοια οὐ προστάττουσι τοῖς ἀνθρώποις οἱ γεγραμμένοι νόμοι ποιεῖν, ἀλλ' εὐθὺς ἀγράφῳ καὶ κοινῷ νόμῳ νομίζεται. τὰ μὲν οὖν δίκαια ταῦτά ἐστι, νόμος δέ ἐστιν ὁμολόγημα πόλεως κοινὸν διὰ γραμμάτων προστάττον, πῶς χρὴ πράττειν ἕκαστα. συμφέρον δέ ἐστι τῶν ὑπαρχόντων ἀγαθῶν φυλακή, ἢ τῶν μὴ προσόντων κτῆσις, ἢ τῶν ὑπαρχόντων κακῶν ἀποβολή, ἢ τῶν προσδοκωμένων γενήσεσθαι βλαβερῶν διακώλυσις. διαιρήσεις δὲ τοῦτο τοῖς μὲν ἰδιώταις εἰς σῶμα καὶ ψυχὴν καὶ τὰ ἐπίκτητα. σώματι μὲν οὖν ἐστι συμφέρον ῥώμη κάλλος ὑγίεια, ψυχῇ δὲ ἀνδρεία σοφία δικαιοσύνη, τὰ δὲ ἐπίκτητα φίλοι χρήματα κτήματα· τὰ δ' ἐναντία τούτοις ἀσύμφορα. πόλει δὲ συμφέ-

---

1. ποιεῖν] Fort. abundat. 2. κωλύειν ABEG Aldus. 5. αἱ om. BDEGV. 7. ἔχοντα] Fort. delendum. λόγον A Aldus, λόγων corr. F. ἀπορρεῖν E. 8. καὶ ἀποτρέποντας om. V. 9. δεῖξαι om. CEFM, est in mg. F ab eadem manu. 10. εὐπορίσομεν EG. 12. καὶ αἰσχρά E. 14. οὐκ ἐπιτάττουσι CF. 16. εὐθὺς] ἔθει CFM. 17. κοινὸν πόλεως F. 24. ἀνδρία ADEF. item fere omnes ὑγεία.

ροντα τὰ τοιαῦτά ἐστιν, ὁμόνοια, δύναμις πρὸς πόλεμον, χρήματα καὶ προσόδων εὐπορία, συμμάχων ἀρετὴ καὶ πλῆθος· καὶ συλλήβδην ἅπαντα τὰ τούτοις ὁμοιότροπα συμφέροντα νομίζομεν, τὰ δὲ τούτοις ἐναντία ἀσύμφορα. καλὰ δέ ἐστιν ἀφ' ὧν εὐδοξία τις καὶ τιμή τις ἔνδοξος γενήσεται τοῖς πράξασιν. ἡδέα δὲ τὰ χαρὰν ἐργαζόμενα. ῥᾴδια δὲ τὰ μετὰ ἐλαχίστου χρόνου καὶ πόνου καὶ δαπάνης ἐπιτελούμενα. δυνατὰ δὲ πάντα τὰ ἐνδεχόμενα γενέσθαι. ἀναγκαῖα δὲ τὰ μὴ ἐφ' ἡμῖν ὄντα πράττειν, ἀλλ' ὡς ἐξ ἀνάγκης θείας ἢ ἀνθρωπίνης οὕτως ὄντα.

Τὰ μὲν οὖν δίκαια καὶ τὰ νόμιμα καὶ τὰ συμφέροντα καὶ τὰ καλὰ καὶ τὰ ἡδέα καὶ τὰ ῥᾴδια καὶ τὰ δυνατὰ καὶ τὰ ἀναγκαῖα ταῦτά ἐστιν· εὐπορήσομεν δὲ περὶ τούτων λέγειν ἐξ αὐτῶν τε τῶν προειρημένων καὶ τῶν ὁμοίων τούτοις καὶ τῶν ἐναντίων αὐτοῖς καὶ τῶν ἤδη κεκριμένων ὑπὸ θεῶν ἢ ἀνθρώπων ἐνδόξων ἢ ὑπὸ κριτῶν ἢ ὑπὸ τῶν ἀνταγωνιστῶν ἡμῖν.

Τὸ μὲν οὖν δίκαιον οἷόν ἐστι, πρότερον ἡμῖν δεδήλωται· τὸ δὲ ὅμοιον τῷ δικαίῳ τοιόνδ' ἐστίν. ὥσπερ γὰρ δίκαιον νομίζομεν τοῖς γονεῦσι πείθεσθαι, τὸν αὐτὸν τρόπον προσήκει τοὺς υἱεῖς μιμεῖσθαι τὰς τῶν πατέρων πράξεις. καί, καθάπερ τοὺς εὖ ποιήσαντας ἀντευεργετεῖν δικαιόν ἐστιν, οὕτω τοὺς μηδὲν ἡμᾶς κακὸν ἐργασαμένους δικαιόν ἐστι μὴ βλάπτειν. τὸ μὲν οὖν ὅμοιον τῷ δικαίῳ τὸν τρόπον τοῦτον δεῖ λαμβάνειν· ἐκ δὲ τῶν ἐναντίων χρὴ καταφανὲς ποιεῖν αὐτὸ τὸ παράδειγμα. καθάπερ γὰρ τοὺς

---

1. τοιαῦτά τέ ἐστι **Basil.** δυνάμεις **B Aldus.** 5. τις **post** τιμὴ **om. F.** 8. γίνεσθαι **CDFM.** 10. οὕτως] ὅτως **M.** 11. καὶ τὰ συμφέροντα **om. CM.** 12. ἀναγκαῖα καὶ τὰ δυνατὰ **FV.** 13. ἐστιν **om. CFM.** 16. ὑποκριτῶν **EG.** 17. ἡμῶν **Basil.** 18. ἐστι] ἂν ἦν **BCEG,** ἂν ᾖ **ceteri, nisi quod prM** δικαίω τοίονδε ἢ τὸ τρόπον. πρότερον] τὸν τρόπον **libri.** 21. μιμεῖσθαι τοὺς υἱοὺς **Aldus.** 23. κακὸν ἡμᾶς **V.** 25. **Fort.** τοῦτον τὸν τρόπον. 26. αὐτὸ τὸ] **Fort.** τὸ αὐτό.

κακόν τι ποιήσαντας δίκαιόν ἐστι τιμωρεῖσθαι, καὶ τοὺς εὐεργετήσαντας οὕτω προσήκει ἀντευεργετεῖν. τὸ δὲ κεκριμένον ὑπό τινων ἐνδόξων δίκαιον οὕτω λήψῃ· ἀλλ' οὐχ ἡμεῖς μόνοι μισοῦμεν καὶ κακῶς ποιοῦμεν τοὺς ἐχθρούς, ἀλλὰ καὶ Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι δίκαιον εἶναι κρίνουσι τοὺς ἐχθροὺς τιμωρεῖσθαι.

Τὸ μὲν οὖν δίκαιον οὕτω μελετῶν πολλάκις λήψῃ· τὸ δὲ νόμιμον αὐτὸ μὲν οἷόν ἐστιν, ὥρισται ἡμῖν πρότερον, δεῖ δὲ, ὅπου ἂν ᾖ χρήσιμον, αὐτόν τε τὸν ἀγορεύοντα καὶ τὸν νόμον λαμβάνειν, εἶτα τὸ ὅμοιον τῷ γεγραμμένῳ νόμῳ. εἴη δὲ ἂν τοιόνδε· ὥσπερ γὰρ ὁ νομοθέτης μεγίσταις ζημίαις τοὺς κλέπτας ἐκόλασεν, οὕτω δεῖ καὶ τοὺς ἐξαπατῶντας μάλιστα τιμωρεῖσθαι· καὶ γὰρ οὗτοι κλέπτουσι τὴν διάνοιαν. καί, καθάπερ ὁ νομοθέτης κληρονόμους πεποίηκε τοὺς ἐγγυτάτω γένους ὄντας τοῖς ἄπαισιν ἀποθνήσκουσιν, οὕτω καὶ τῶν τοῦ ἀπελευθέρου χρημάτων ἐμὲ νῦν προσήκει κύριον γενέσθαι· τῶν γὰρ ἀπελευθερωσάντων αὐτὸν τετελευτηκότων ἐγγυτάτω γένους αὐτὸς ὢν καὶ τῶν ἀπελευθέρων δίκαιος ἂν εἴην ἄρχειν. τὸ μὲν οὖν ὅμοιον τῷ νομίμῳ τοῦτον τὸν τρόπον λαμβάνεται· τὸ δ' ἐναντίον ὧδε· εἰ γὰρ ὁ νόμος ἀπαγορεύει τὰ δημόσια διανέμεσθαι, δῆλον ὅτι τοὺς διαιρουμένους αὐτὰ πάντας ἀδικεῖν ὁ νομοθέτης ἔκρινεν. εἰ γὰρ τιμᾶσθαι οἱ νόμοι προστάττουσι τοὺς καλῶς καὶ δικαίως τῶν κοινῶν ἐπιστατήσαντας, δῆλον ὡς καὶ τοὺς τὰ δημόσια διαφθείραντας τιμωρίας ἀξίους νομίζουσιν. ἐκ μὲν οὖν τῶν ἐναντίων καταφανὲς οὕτω γίνεται τὸ νόμιμον, ἐκ δὲ τῶν κεκριμένων ὧδε· καὶ οὐ μόνον ἐγὼ τὸν νόμον τοῦτον εἵνεκα τούτων φημὶ τὸν νομοθέτην δεῖ-

---

2. οὕτω] **Fort.** post τιμωρεῖσθαι **ponendum.** 4. μόνον **BM Aldus.** 7. μελετῶν πολλάκις] **Fort.** μετιὼν πολλαχῶς. 12. δεῖ] δὴ **M Aldus.** 19. ἂν εἴην] εἰμι **F,** ὦ **M,** ὢν **C,** ἂν εἴη **AB Aldus.** 20. τοῦτο **E.** 22. πάντα **M.** 24. ἐπιστήσαντας **C Aldus.** 25. διαφθείραντας **EG:** διαφθείροντας **ceteri.** 28. ἕνεκα **CFM.**

ναι, ἀλλὰ καὶ πρότερον οἱ δικασταὶ διεξιόντος Λυσιθείδου παραπλήσια τοῖς νῦν ὑπ᾽ ἐμοῦ λεγομένοις ἐψηφίσαντο ταὐτὰ περὶ τοῦ νόμου τούτου.

Τὸ μὲν οὖν νόμιμον οὕτω μετιόντες πολλαχῶς δείξομεν· τὸ δὲ συμφέρον αὐτὸ μὲν οἷόν ἐστιν, ἐν τοῖς πρότερον ὥρισται. δεῖ δὲ λαμβάνειν εἰς τοὺς λόγους τῶν προειρημένων καὶ ἐκ τοῦ συμφέροντος ἂν ὑπάρχῃ τι, καὶ μετιόντας τὸν αὐτὸν τρόπον, ὅνπερ ὑπὲρ τοῦ νομίμου καὶ τοῦ δικαίου διήλθομεν, οὕτω καὶ τὸ συμφέρον πολλαχῶς ἐμφανίζειν. εἴη δ᾽ ἂν τὸ μὲν ὅμοιον τῷ συμφέροντι τοιόνδε· ὥσπερ γὰρ ἐν τοῖς πολέμοις συμφέρει τοὺς εὐψυχοτάτους πρώτους τάττειν, οὕτως ἐν ταῖς πολιτείαις λυσιτελεῖ τοὺς φρονιμωτάτους καὶ δικαιοτάτους προεστάναι τοῦ πλήθους. καί, καθάπερ τοῖς ἀνθρώποις ὑγιαίνουσι συμφέρει φυλάττεσθαι μὴ νοσήσωσιν, οὕτω καὶ ταῖς πόλεσιν ὁμονοούσαις συμφέρον ἐστὶ προσκοπεῖν μὴ στασιάσωσιν. τὰ μὲν οὖν ὅμοια τῷ συμφέροντι τοῦτον τὸν τρόπον μετιὼν πολλὰ ποιήσεις, ἐκ δὲ τῶν ἐναντίων ὧδέ σοι τὸ συμφέρον ἔσται καταφανές. εἰ γὰρ λυσιτελεῖ τοὺς ἐπιεικεῖς τῶν πολιτῶν τιμᾶν, συμφέρον ἂν εἴη καὶ τοὺς πονηροὺς κολάζειν. εἰ γὰρ οἴεσθε ἀσύμφορον τὸ μόνους ἡμᾶς πρὸς Θηβαίους πολεμεῖν, συμφέρον ἂν εἴη τὸ Λακεδαιμονίους συμμάχους ποιησαμένους ἡμᾶς οὕτω Θηβαίοις πολεμεῖν. ἐκ μὲν δὴ τῶν ἐναντίων οὕτω τὸ συμφέρον καταφανὲς ποιήσεις, τὸ δὲ κεκριμένον ὑπ᾽ ἐνδόξων συμφέρον ὧδε χρὴ λαμβάνειν· Λακεδαιμόνιοί τε γὰρ Ἀθηναίους καταπολεμήσαντες συμφέρειν αὐτοῖς ᾠήθησαν μὴ τὴν πόλιν αὐτῶν ἀνδραποδίσασθαι, καὶ πάλιν Ἀθηναῖοι ἐξὸν αὐτοῖς ἀνοικίσαι τὴν

---

1. Λυσιθίδου libri. 3. ταὐτὰ] ταῦτα libri. 4. πολλαχοῦ ABE. 11. ξυμφέρει CDFM. 14. καὶ post πλήθους om. DprA. 16. σκοπεῖν CEFGM. 21. Fort. καί, εἰ γὰρ. οἴεσθαι D. 27. μὴ τὴν . . . ᾠήθησαν om. M.

Σπάρτην συμφέρειν σφίσιν ᾠήθησαν περιποιῆσαι Λακεδαιμονίους.

Περὶ μὲν οὖν τοῦ δικαίου καὶ τοῦ νομίμου καὶ τοῦ συμφέροντος οὕτω μετιὼν εὐπορήσεις· τὸ δὲ καλὸν καὶ τὸ ῥᾴδιον καὶ τὸ ἡδὺ καὶ τὸ δυνατὸν καὶ τὸ ἀναγκαῖον ὁμοιοτρόπως τούτοις μέτιθι. καὶ περὶ μὲν τούτων ἐντεῦθεν εὐπορήσομεν.

2 *Πάλιν δὲ ὁρισώμεθα καὶ περὶ πόσων καὶ περὶ ποίων καὶ τίνων ἔν τε τοῖς βουλευτηρίοις καὶ ταῖς ἐκκλησίαις συμβουλεύομεν· ἂν γὰρ τούτων ἕκαστα σαφῶς ἐπιστώμεθα, τοὺς μὲν ἰδίους λόγους αὐτὰ τὰ πράγματα καθ' ἑκάστην ἡμῖν συμβουλίαν παραδώσει· τὰς δὲ κοινὰς ἰδέας ἐκ πολλοῦ προειδότες ἐπιφέρειν ἐφ' ἑκάσταις τῶν πράξεων ῥᾳδίως δυνησόμεθα. τούτων οὖν ἕνεκα διαιρετέον ἡμῖν, περὶ ὧν κοινῇ βουλεύονται πάντες.*

Ἐν κεφαλαίῳ μὲν οὖν εἰπεῖν εἰσὶν ἑπτὰ τὸν ἀριθμὸν προθέσεις, περὶ ὧν δημηγορήσομεν· ἀνάγκη γάρ ἐστι καὶ βουλεύεσθαι καὶ λέγειν ἡμᾶς ἐν βουλῇ καὶ δήμῳ ἢ περὶ ἱερῶν, ἢ περὶ νόμων, ἢ περὶ τῆς πολιτικῆς κατασκευῆς, ἢ περὶ τῶν πρὸς τὰς ἄλλας πόλεις συμμαχιῶν καὶ συμβολαίων, ἢ περὶ πολέμων, ἢ περὶ εἰρήνης, ἢ περὶ πόρου χρημάτων. αἱ μὲν οὖν προθέσεις αὗται τυγχάνουσιν οὖσαι, περὶ ὧν βουλευσόμεθα καὶ δημηγορήσομεν· ἑκάστην δὲ πρόθεσιν διελώμεθα καὶ σκοπῶμεν, ἐν οἷς τρόποις ἐνδέχεται περὶ τούτων λόγῳ χρήσασθαι.

Περὶ μὲν οὖν ἱερῶν τριττῶς ἀναγκαῖον λέγειν· ἢ γὰρ

---

1. *ποιῆσαι* C. *Λακεδαιμονίοις* CM. 3. *οὖν* om. F. *νομίμου καὶ τοῦ δικαίου* DprC. 5. *τὸ* ante *ἀναγκαῖον* om. DV. 6. *τούτοις* om. M. *τούτων*] *αὐτῶν* CFM. 8. *ὁρισόμεθα* C, *διορισώμεθα* FM Aldus. *περὶ* ante *ποίων* om. CFG Aldus. 10. *συμβουλεύσομεν* EV Aldus, *βουλεύομεν* C. *ἐπισταίμεθα* M et Victorii codex. 14. *οὖν*] om. FM, *μὲν οὖν* EV. 20. *τὰς ἄλλας* CFM: *ἄλλας* ceteri. 21. *ἢ περὶ εἰρήνης* om. M. 25. *περὶ τούτων ἐνδέχεται* CDFM. *λόγῳ* om. CMprF. 26. *τριττῶς* Bekkerus: *περιττῶς* libri praeter C qui *περιττοῖς*.

ἐροῦμεν ὡς τὰ καθεστῶτα διαφυλακτέον, ἢ ὡς ἐπὶ τὸ μεγαλοπρεπέστερον [πως], ἢ ὡς ἐπὶ τὸ ταπεινότερον. ὅταν μὲν οὖν λέγωμεν, ὡς δεῖ τὰ καθεστῶτα διαφυλάττειν, εὑρήσομεν ἀφορμὰς ἐκ μὲν τοῦ δικαίου λέγοντες, [ὅτι] τὰ πάτρια ἔθη παρὰ πᾶσι παραβαίνειν ἄδικόν ἐστι, καὶ ὅτι τὰ μαντεῖα πάντα τοῖς ἀνθρώποις προστάττει κατὰ τὰ πάτρια ποιεῖσθαι τὰς θυσίας, καὶ ὅτι τῶν πρώτων οἰκιζόντων τὰς πόλεις καὶ τοῖς θεοῖς ἱδρυσαμένων τὰ ἱερὰ μάλιστα δεῖ διαμένειν τὰς περὶ τοὺς θεοὺς ἐπιμελείας. ἐκ δὲ τοῦ συμφέροντος, ὅτι πρὸς χρημάτων συντέλειαν ἢ τοῖς ἰδιώταις ἢ τῷ κοινῷ τῆς πόλεως συμφέρον ἔσται κατὰ τὰ πάτρια τῶν ἱερῶν θυομένων, καὶ ὅτι πρὸς εὐτολμίαν λυσιτελεῖ τοῖς πολίταις, ἐπεὶ συμπομπευόντων ὁπλιτῶν ἱππέων ψιλῶν εὐτολμότεροι γένοιντ' ἂν οἱ πολῖται φιλοτιμούμενοι περὶ ταῦτα. ἐκ δὲ τοῦ καλοῦ, εἰ οὕτω καλὰς τὰς ἑορτὰς πρὸς τὸ θεωρῆσαι συμβέβηκεν. ἐκ δὲ τῆς ἡδονῆς, εἰ καὶ πρὸς τὸ θεωρεῖσθαι ποικιλία τις περὶ τὰς τῶν θεῶν θυσίας. ἐκ δὲ τοῦ δυνατοῦ, εἰ μήτε ἔνδεια γεγένηται μήτε ὑπερβολὴ περὶ ταύτας. ὅταν μὲν οὖν τοῖς καθεστῶσι συνηγορῶμεν, οὕτω μετιοῦσι σκεπτέον ἐπὶ τῶν προειρημένων ἢ τῶν τούτοις ὁμοιοτρόπων, καὶ ὡς ἐνδέχεται διδάσκειν περὶ τῶν λεγομένων· ὅταν δὲ ἐπὶ τὸ μεγαλοπρεπέστερον συμβουλεύωμεν μεθιστάναι τὰς ἱεροποιίας, περὶ μὲν τοῦ τὰ πάτρια κινεῖν ἀφορμὰς ἕξομεν εὐπρεπεῖς, λέγοντες, [ὅτι] τὸ προστιθέναι τοῖς ὑπάρχουσιν οὐ καταλύειν ἐστὶν ἀλλ' αὔξειν τὰ καθεστῶτα· ἔπειθ' ὡς καὶ τοὺς θεοὺς

---

1. φυλακτέον D. 2. πως] ὄντως V, ὄντος D. delendum est. 4. ὅτι Basil.: om. libri. 5. διότι ABDEFG. 7. πρῶτον G. οἰκίζοντας V. 9. διαφέρειν GprE. 13. τοῖς om. AEGV. συμπολιτευόντων M. 14. ψιλοὶ DV. γένοιτ' M. 15. καλοῦ] λαμπροῦ D. καλὰς CFM: λαμπρὰς ceteri, τὰς om. prA. 16. θεωρῆσαι] θεωρεῖσθαι CFM. καὶ προσθεωρεῖσθαι DV. 17. τις] τῆς CM Aldus, om. Bekkerus (ex BV?). 18. γεγένηται Aldus: γένηται libri. 21. δέχεται B. 23. καθιστάναι prE. τὰς] τῆς V. 25. ὅτι Basil.: om. libri. 26. καὶ — ἔπειθ' ὡς om. M.

εἰκὸς εὐνουστέρους εἶναι τοῖς μᾶλλον αὐτοὺς τιμῶσιν· ἔπειθ' ὡς οὐδὲ οἱ πατέρες ἀεὶ κατὰ τὰ αὐτὰ τὰς θυσίας ἦγον, ἀλλὰ πρὸς τοὺς καιροὺς καὶ τὰς εὐπραγίας ὁρῶντες καὶ ἰδίᾳ καὶ κοινῇ τὴν πρὸς τοὺς θεοὺς θεραπείαν ἐνομοθέτουν· ἔπειθ' ὡς καὶ ἐπὶ τῶν λοιπῶν ἁπάντων οὕτω καὶ τὰς πόλεις καὶ τοὺς ἰδίους οἴκους διοικοῦμεν. λέγε δὲ καὶ εἰ τούτων κατασκευασθέντων ὠφέλειά τις ἔσται τῇ πόλει ἢ λαμπρότης ἢ ἡδονὴ μετιὼν ὥσπερ ἐπὶ τῶν προτέρων εἴρηται. ὅταν δὲ ἐπὶ τὸ ταπεινότερον συστέλλωμεν, πρῶτον μὲν ἐπὶ τοὺς καιροὺς τὸν λόγον ἀνακτέον, τί πράττοντες χεῖρον οἱ πολῖται τυγχάνουσι νῦν ἢ πρότερον· ἔπειθ' ὡς οὐκ εἰκὸς τοὺς θεοὺς χαίρειν ταῖς δαπάναις τῶν θυομένων, ἀλλὰ ταῖς εὐσεβείαις τῶν θυόντων· εἶθ' ὡς πολλὴν ἄνοιαν τούτων καὶ οἱ ἄνθρωποι κατακρίνουσιν, ὅσοι παρὰ δύναμίν τι ποιοῦσιν· ἔπειθ' ὅτι οὐκ ἐπὶ τοῖς ἀνθρώποις μόνοις ἀλλὰ καὶ ἐπὶ ταῖς εὐπραγίαις καὶ κακοπραγίαις ἐστὶ τὰ περὶ τὰς πολιτικὰς δαπάνας. ἀφορμὰς μὲν οὖν ταύτας καὶ τὰς ὁμοιοτρόπους ταύταις ὑπὲρ τῶν περὶ τὰς θυσίας προθέσεων ἕξομεν· ἵνα δὲ καὶ τὰ κατὰ τὴν κρατίστην θυσίαν εἰδῶμεν εἰσηγεῖσθαι καὶ νομοθετεῖν, ὁρισώμεθα καὶ ταύτην. ἔστι γὰρ κρατίστη θυσία πασῶν ἥτις ἂν ἔχῃ πρὸς μὲν τοὺς θεοὺς ὁσίως [καὶ θείως], πρὸς δὲ τὰς δαπάνας μετρίως, πρὸς δὲ πόλεμον

---

1. εἰκὸς **ACF**, mg. **E**, **Veneta**: νῦν **ceteri**. 2. οὐδὲ **Bekkerus**: οὔτε **libri** (οὔτ' **sic EG**). 3. τὰς] πρὸς τὰς **C**. 4. ἐνουθέτουν **Aldus**. 5. ἔπειθ' ὡς] **Fort.** ἐπεὶ. 6. λέγω **M**, λέγεται **C**. 7. καὶ εἰ **om. EG**. 10. μὲν **om M**. 11. οἱ πολῖται τυγχάνουσι] **om. CM**, ἔχουσι **F**. 14. καὶ] καὶ οἱ θεοὶ καὶ **DEFG Aldus Bekkerus**. 16. μόνοις **CFM**: μόνον **ceteri**. 17. τὰ περὶ] τὰς περὶ **B**, τὰ κατὰ **rcV**, **pr. enim om.** 19. θέσεων **EG**. ἵνα] εἰ **prV**. 20. εἰδῶμεν] δῶμεν **Aldus**, ἴσως δοκῶμεν **Victorius**. 21. ὁρισώμεθα] **om. ADV**, ὁριοῦμαι **CFMrcV**, ὁρισόμεθα **E Aldus**. 22. ἥτις] εἴ τις **Aldus**. ἔχοι **ADEFGV**, **om. B**. καὶ θείως **inclusit Bekkerus**. 23. πόλεμον] τὸν πόλεμον **B**. **Fort.** τοὺς πολέμους, **ita ut hoc colon post** λαμπρῶς **ponatur**.

ὠφελίμως, πρὸς δὲ τὰς θεωρίας λαμπρῶς. ἕξει δὲ πρὸς μὲν τοὺς θεοὺς ὁσίως, ἂν τὰ πάτρια μὴ καταλύηται· πρὸς δὲ τὰς δαπάνας μετρίως, ἐὰν μὴ πάντα τὰ πεμπόμενα καταναλίσκηται· πρὸς δὲ τὰς θεωρίας λαμπρῶς, ἐὰν χρυσῷ καὶ τοῖς τοιούτοις ἃ μὴ συναναλίσκεται, δαψιλῶς τις χρήσηται· πρὸς δὲ τοὺς πολέμους ὠφελίμως, ἐὰν ἱππεῖς καὶ ὁπλῖται διεσκευασμένοι συμπομπεύωσιν. τὰ μὲν δὴ περὶ τοὺς θεοὺς ἐκ τούτων κάλλιστα κατασκευάσομεν, ἐκ δὲ τῶν πρότερον εἰρημένων καθ' οὓς ἐνδέχεται τρόπους δημηγορεῖν περὶ ἑκάστης ἱεροποιίας εἰσόμεθα.

Περὶ δὲ νόμων πάλιν καὶ τῆς πολιτικῆς κατασκευῆς ὁμοιοτρόπως διέλθωμεν. εἰσὶ δὲ νόμοι συλλήβδην μὲν εἰπεῖν ὁμολογήματα κοινὰ πόλεως, ἃ διὰ γραμμάτων ὁρίζει καὶ προστάττει πῶς χρὴ πράττειν ἕκαστα. δεῖ δὲ αὐτῶν τὴν θέσιν ἐν μὲν ταῖς δημοκρατίαις τὰς μικρὰς ἀρχὰς καὶ τὰς πολλὰς κληρωτὰς ποιεῖν· ἀστασίαστον γὰρ τοῦτο· τὰς δὲ μεγίστας χειροτονητὰς ἀπὸ τοῦ πλήθους. οὕτω γὰρ ὁ μὲν δῆμος κύριος ὢν διδόναι τὰς τιμὰς οἷς ἂν ἐθέλῃ, τοῖς λαμβάνουσιν αὐτὰς οὐ φθονήσει, οἱ δ' ἐπιφανέστεροι μᾶλλον τὴν καλοκαγαθίαν ἀσκήσουσιν, εἰδότες ὅτι τὸ παρὰ τοῖς πολίταις εὐδοκιμεῖν οὐκ ἀλυσιτελὲς αὐτοῖς ἔσται. περὶ μὲν οὖν τὰς ἀρχαιρεσίας ἐν τῇ δημοκρατίᾳ οὕτω δεῖ νομοθετεῖν, περὶ δὲ τὴν ἄλλην διοίκησιν καθ' ἓν μὲν ἕκαστον διελθεῖν πολὺ ἂν ἔργον εἴη, συλλήβδην δὲ δεῖ παραφυλάττειν ὅπως οἱ νόμοι τὸ μὲν πλῆθος ἀποτρέψωσι τοῖς τὰς οὐσίας ἔχουσιν ἐπιβουλεύειν, τοῖς δὲ πλουτοῦσιν

---

2. ἂν **nostri**: ἐὰν **Bekkerus** (**ex BV?**). 3. ἂν **ACFM**. 5. συναναλίσκηται **GM**. 6. χρήσεται **M**. 7. συμπομπεύσωσι **C**, συμπομπεύουσι **M**. 8. κατασκευάσωμεν **C**. 11. πάλιν] **in ras. E**, πάλαι **DV**. 13. ἃ] ἃ καὶ **C**. πραγμάτων **V**. 14. ἕκαστα πράττειν **CFM**. 17. ἀπὸ] **Fort.** ὑπὸ. 18. μὲν γὰρ ὁ **ABDEGV**. 19. ἐθέλοι **CDFMV**, ἐθέλοι **G**. αὐτὰς] εἰδότες αὐτὰς **M**. 21. παρὰ] περὶ **C**. 24. μὲν **om. FM**. 25. ἀποστρέψωσι **V**.

εἰς τὰς κοινὰς λειτουργίας ἐκουσίαν ἅπασαν φιλοτιμίαν ἐμποιήσωσιν. τοῦτο δὲ οὕτως ἂν κατασκευάσειεν, εἰ τοῖς μὲν τὰς οὐσίας ἔχουσιν ἀντὶ τῶν εἰς τὸ κοινὸν δαπανωμένων τιμαί τινες ἀπὸ τῶν νόμων ἀφωρισμέναι τυγχάνοιεν, τῶν δὲ πενομένων τοὺς τὴν χώραν ἐργαζομένους καὶ ναυκληροῦντας τῶν ἀγοραίων μᾶλλον προτιμῷεν, ὅπως οἱ μὲν πλουτοῦντες ἑκόντες τῇ πόλει λειτουργήσωσι, τὸ δὲ πλῆθος οὐ συκοφαντίας ἀλλ' ἐργασίας ἐπιθυμήσῃ. δεῖ δὲ πρὸς τούτοις καὶ περὶ τοῦ μήτε χώραν ποιεῖν ἀνάδαστον μήτε δημεύειν τὰς οὐσίας τῶν τελευτώντων ἰσχυροὺς κεῖσθαι νόμους, καὶ μεγάλας ἐπικεῖσθαι τιμωρίας τοῖς παραβαίνουσι ταῦτα. χρὴ δὲ τοῖς ἐν πολέμῳ τελευτῶσιν εἰς ταφήν τι χωρίον δημόσιον ἐν καλῷ πρὸ τῆς πόλεως ἀφωρισμένον, καὶ τοῖς παισὶν αὐτῶν ἕως ἥβης δημοσίαν τροφὴν δίδοσθαι. τῶν μὲν οὖν ἐν τῇ δημοκρατίᾳ νόμων τὴν θέσιν τοιαύτην δεῖ ποιεῖσθαι· περὶ δὲ τὰς ὀλιγαρχίας τὰς μὲν ἀρχὰς δεῖ τοὺς νόμους ἀπονέμειν ἐξ ἴσου πᾶσι τοῖς τῆς πολιτείας μετέχουσι, τούτων δὲ εἶναι τὰς μὲν πλείστας κληρωτάς, τὰς δὲ μεγίστας κρυπτῇ ψήφῳ μεθ' ὅρκων καὶ πλείστης ἀκριβείας διαψηφιστάς. δεῖ δὲ τὰς ζημίας ἐν τῇ ὀλιγαρχίᾳ μεγίστας ἐπικεῖσθαι τοῖς ὑβρίζειν τινὰς τῶν πολιτῶν ἐπιχειροῦσιν· τὸ γὰρ πλῆθος οὐχ οὕτω τῶν ἀρχῶν ἀγανακτεῖ στερούμενον, ὡς ἔχει βαρέως ὑβριζόμενον. χρὴ δὲ καὶ τὰς διαφορὰς τῶν πολιτῶν ὅτι τάχιστα διαλύειν καὶ μὴ χρονίζεσθαι, μηδὲ συνάγειν ἐκ τῆς χώρας ἐπὶ τὴν πόλιν τὸν ὄχλον· ἐκ γὰρ τῶν τοιούτων συνόδων συστρέφεται τὰ πλήθη καὶ καταλύει τὰς ὀλιγαρχίας. καθόλου

---

2. **Fort.** κατασκευάσαιεν. 5. ἐργαζομένων **M.** 10. κεῖσθαι] ποικεῖσθαι εἶσθαι **EG.** 13. ἀφωρισμένον] **adde** εἶναι, **editi ex Veneta** ἀφωρίσθαι. 14. ἕως] ἕως ἐς **C.** 17. πᾶσι **om. EG.** τὴν πολιτείαν **DV.** 21. ὀλιγαρχίᾳ] πολιαρχία **GprE.** 22. οὕτω τῶν] οὕτω **Aldus, unde** οὕτως **editi praeter Bekkerum.** 23. στερόμενον **CFGM.**

δὲ εἰπεῖν, δεῖ τοὺς νόμους ἐν μὲν ταῖς δημοκρατίαις κωλύειν τοὺς πολλοὺς ταῖς τῶν πλουσίων οὐσίαις ἐπιβουλεύειν, ἐν δὲ ταῖς ὀλιγαρχίαις ἀποτρέπειν τοὺς τῆς πολιτείας μετέχοντας ὑβρίζειν τοὺς ἀσθενεστέρους καὶ συκοφαντεῖν τοὺς πολίτας. ὧν μὲν οὖν ὀρέγεσθαι δεῖ τοὺς νόμους καὶ τὴν πολιτικὴν κατασκευήν, ἐκ τούτων οὐκ ἀγνοήσεις· δεῖ δὲ τὸν συναγορεύειν ἐθέλοντα νόμῳ δεικνύειν τοῦτον ἴσον ὄντα τοῖς πολίταις ὁμολογούμενόν τε τοῖς ἄλλοις νόμοις καὶ συμφέροντα τῇ πόλει μάλιστα μὲν πρὸς ὁμόνοιαν, εἰ δὲ μή, πρὸς τὴν τῶν πολιτῶν καλοκαγαθίαν ἢ πρὸς τὰς κοινὰς προσόδους ἢ πρὸς εὐδοξίαν τῷ κοινῷ τῆς πόλεως ἢ πρὸς τὴν πολιτικὴν δύναμιν ἢ πρὸς ἄλλο τι τῶν τοιούτων· ἀντιλέγοντα δὲ σκοπεῖν πρῶτον μὲν εἰ μὴ κοινὸς ὁ νόμος· ἔπειτα εἰ μὴ τοῖς ἄλλοις ὁμολογῶν ἀλλ' ὑπεναντίος ἔσται· ἐπὶ τούτοις εἰ μὴ πρὸς μηδὲν τῶν εἰρημένων συμφέρων ἀλλὰ τοὐναντίον βλαβερός.

Περὶ μὲν οὖν νόμων καὶ τῆς κοινῆς κατασκευῆς ἐντεῦθεν καὶ τιθέναι καὶ λέγειν εὐπορήσομεν· περὶ δὲ συμμάχων καὶ τῶν πρὸς τὰς ἄλλας πόλεις συμβολαίων διελθεῖν ἐπιχειρήσομεν. τὰ μὲν οὖν συμβόλαια καὶ τὰς τάξεις ἀναγκαῖον κατὰ συνθήκας κοινὰς γίνεσθαι, συμμάχους δὲ ποιεῖσθαι κατὰ τοὺς καιροὺς τούτους, ὅταν τινὲς καθ' ἑαυτοὺς ὦσιν ἀσθενεῖς, ἢ πόλεμός τις ᾖ προσδόκιμος ἢ διὰ τοῦτο ποιήσασθαι συμμαχίαν πρός τινας ὅτι πολέμῳ ἀποστήσειν τινὰς νομίζουσιν. αἰτίαι μὲν οὖν αὗται καὶ παραπλήσιαι ταύταις ἄλλαι πλείους [τοῦ ποιεῖσθαι συμ-

---

1. μὲν om. V. 2. πολλαῖς M. 3. τῆς πολιτείας] πολίταις M. 13. δὲ] δεῖ CM, δεῖ F, δὲ δεῖ ex Veneta editi praeter Bekkerum. 18. Fort. τῶν συμμαχιῶν τῶν . . καὶ συμβολαίων. 20. τάξεις ἀναγκαῖον] πράξεις EG. 21. κατὰ] κατὰ τὰς V. 23. τις ᾖ] τις ἢ C, ᾖ τις ABDEGV, τις ᾖ ἢ mg. Venetae. 25. καὶ] καὶ αἱ CFM Aldus. 26. τοῦ ποιεῖσθαι συμμάχους] om. ABEG.

μάχους] εἰσίν. δεῖ δὲ ὅταν συναγορεύειν βούλῃ τῇ γινομένῃ συμμαχίᾳ, τὸν καιρὸν τοιοῦτον ὑπάρχοντα ἐμφανίζειν, καὶ δεικνύναι τοὺς τὴν συμμαχίαν ποιουμένους μάλιστα μὲν δικαίους ὄντας καὶ πρότερόν τι τῇ πόλει ἀγαθὸν πεποιηκότας καὶ δύναμιν μεγάλην ἔχοντας καὶ πλησίον τοῖς τόποις κατοικοῦντας· εἰ δὲ μή, τούτων ἅπερ ἂν ὑπάρχῃ, ταῦτα συνάγειν. ὅταν δὲ διακωλύῃς τὴν συμμαχίαν, ἐμφανίζειν ἐνδέχεται πρῶτον μὲν ὡς οὐκ ἀναγκαῖον ποιεῖσθαι νῦν αὐτήν, ἔπειθ' ὡς οὐ δίκαιοι τυγχάνουσιν ὄντες, εἶθ' ὡς πρότερον ἡμᾶς κακῶς πεποιηκότες, εἰ δὲ μή, ὡς μακρὰν τοῖς τόποις ἀπέχοντες καὶ οὐχ ὑπάρχοντες δυνατοὶ κατὰ τοὺς προσήκοντας παραγενέσθαι καιρούς. ταῖς μὲν οὖν ἀντιλογίαις καὶ ταῖς συνηγορίαις ταῖς περὶ τῶν συμμάχων ἐκ τούτων καὶ τῶν τούτοις ὁμοιοτρόπων εὐπορήσομεν χρῆσθαι.

Περὶ εἰρήνης δὲ πάλιν καὶ πολέμου τὸν αὐτὸν τρόπον τὰς μεγίστας ἰδέας ἐκλάβωμεν. προφάσεις μὲν οὖν εἰσι τοῦ πόλεμον ἐκφέρειν πρός τινας αὗται· δεῖ πρότερον ἀδικηθέντας νῦν καιρῶν παραπεπτωκότων ἀμύνασθαι τοὺς ἀδικήσαντας ἢ νῦν ἀδικουμένους ὑπὲρ ἑαυτῶν πολεμεῖν ἢ ὑπὲρ συγγενῶν ἢ ὑπὲρ εὐεργετῶν ἢ συμμάχοις ἀδικουμένοις βοηθεῖν, ἢ τοῦ τῇ πόλει συμφέροντος ἕνεκεν, ἢ εἰς εὐδοξίαν, ἢ εἰς εὐπορίαν, ἢ εἰς δύναμιν, ἢ εἰς ἄλλο τι τῶν τοιούτων. ὅταν μὲν οὖν ἐπὶ τὸ πολεμεῖν παρακαλῶμεν, τούτων τε τῶν προφάσεων ὅτι πλείστας συνακτέον καὶ μετὰ ταῦτα δεικτέον, ἐξ ὧν ἔστι περιγενέσθαι τῷ πολέμῳ, ὅτι τὰ πλεῖ-

---

1. *βούλει* DM. *τὴν γινομένην συμμαχίαν* prE. 2. *τῶν καιρῶν τούτων τοὺς ὑπάρχοντας* DEMV et om. *τούτων* C. 7. *ἂν ὑπάρχῃ*] *ὑπάρχει* M. 8. *ἀναγκαῖον* C: *ἀνάγκη* ceteri. 10. *πρότεροι* M. 12. *παραγίνεσθαι* F. 18. *δεῖ*] *δεῖ δὲ* CFM. 20. *ἀδικουμένους*] *ἀδικηθέντας* CFM. *αὑτῶν* C, *αὐτῶν* F. 25. *συντακτέον* GV. *μετὰ*] *κατὰ* M.
26. *τοῦ πολέμου* DV, *τῷ πολέμῳ* F. *τὰ* om. AB.

στα τούτων τοῖς παρακαλουμένοις ὑπάρχοντά ἐστιν. περιγίνονται δὲ πάντες ἢ διὰ τὴν τῶν θεῶν εὔνοιαν, ἣν εὐτυχίαν προσαγορεύομεν, ἢ διὰ σωμάτων πλῆθος καὶ ῥώμην, ἢ διὰ χρημάτων εὐπορίαν, ἢ διὰ στρατηγοῦ φρόνησιν, ἢ διὰ συμμάχων ἀρετήν, ἢ διὰ τόπων εὐφυΐαν. τούτων οὖν καὶ τῶν τοιούτων τὰ τοῖς πράγμασιν οἰκειότατα λαμβάνοντες ἐμφανιοῦμεν, ὅταν ἐπὶ τὸ πολεμεῖν παρακαλῶμεν, τὰ μὲν τῶν ἐναντίων ταπεινοῦντες, τὰ δ' ἡμέτερα ταῖς αὐξήσεσι μεγάλα καθιστῶντες. ἐὰν δὲ πόλεμον μέλλοντα γίνεσθαι διακωλύειν ἐπιχειρῶμεν, πρῶτον μὲν διὰ προφάσεων δεικτέον ἢ παντελῶς οὐδεμίαν ὑπάρχουσαν, ἢ μικρὰς καὶ ταπεινὰς οὔσας τὰς δυσχερείας· ἔπειθ' ὡς οὐ συμφέρει πολεμεῖν, διεξιόντα τὰ κατὰ τὸν πόλεμον ἀτυχήματα τοῖς ἀνθρώποις. πρὸς δὲ τούτοις τὰ πρὸς νίκας συντείνοντα τοῦ πολέμου τοῖς ἐναντίοις ὑπάρχοντα μᾶλλον δεικτέον· ταῦτα δέ ἐστιν ἅπερ ἀρτίως κατηρίθμηται. γίνεσθαι μὲν οὖν μέλλοντα πόλεμον ἐκ τούτων ἀποτρεπτέον. ἤδη δ' ἐνεστῶτα παύειν ἐπιχειροῦντας, ἐὰν μὲν κρατῶσιν οἱ συμβουλευόμενοι, αὐτὸ τοῦτο πρῶτον λεκτέον, ὅτι δεῖ τοὺς νοῦν ἔχοντας μὴ περιμένειν, ἕως ἂν πέσωσιν, ἀλλ' ἐν τῷ κρατεῖν ποιεῖσθαι τὴν εἰρήνην· ἔπειτα διότι πέφυκεν ὁ πόλεμος καὶ τῶν εὐτυχούντων ἐν αὐτῷ πολλοὺς ἀπολλύναι· ἡ δ' εἰρήνη τοὺς μὲν ἡττωμένους σώζειν, τοὺς δὲ νικῶντας, ὧν ἕνεκεν ἐπολέμησαν, [παρέχειν] ἀπολαύειν· διεξι-

---

2. εὐψυχίαν προσαγορεύοιμεν **CDFM.** 5. εὐφυΐαν] εὐποιίαν **M.** οὖν] μὲν οὖν **G Aldus.** 6. τοιούτων] τοιούτων ὁμοιοτρόπως **DV,** qui τούτοις ὁμοιοτρόπων **voluisse videntur.** οἰκειότατα] οἰκεῖα **D,** οἰκειότερα **ceteri.** 8. τὰ μὲν τῶν ἐναντίων **om. E.** ταῖς **om. F.** 10. γενέσθαι **CFMV, in marg. ante** μέλλοντα **addit D.** διὰ] **Fort.** τῶν. 12. ὡς **om. DG,** οὐ **om. V.** 16. κατηρίθμηνται **F.** 17. πόλεμον μέλλοντα **CEFMV.** 18. ἐπιχειροῦντες **FV.** μὲν **om. DG.** συμβουλευόμενοι] **Fort.** βουλευόμενοι. 20. ἂν **om. CFM.** 23. τοὺς **om. prA.** ἡλαττωμένους **M.** 24. ὧν ἕνεκεν] **om. prC,** ἀπολλύναι ἐνε **M,** ὧν ἐκ τοῦ **F.** ἐπολέμησαν] πόλεμον ἐκτήσαντο **F.** παρέχειν **om CFMVprA.**

κακόν τι ποιήσαντας δίκαιόν ἐστι τιμωρεῖσθαι, καὶ τοὺς εὐεργετήσαντας οὕτω προσήκει ἀντευεργετεῖν. τὸ δὲ κεκριμένον ὑπό τινων ἐνδόξων δίκαιον οὕτω λήψῃ· ἀλλ᾽ οὐχ ἡμεῖς μόνοι μισοῦμεν καὶ κακῶς ποιοῦμεν τοὺς ἐχθρούς, ἀλλὰ καὶ Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι δίκαιον εἶναι κρίνουσι τοὺς ἐχθροὺς τιμωρεῖσθαι.

Τὸ μὲν οὖν δίκαιον οὕτω μελετῶν πολλάκις λήψῃ· τὸ δὲ νόμιμον αὐτὸ μὲν οἷόν ἐστιν, ὥρισται ἡμῖν πρότερον, δεῖ δὲ, ὅπου ἂν ᾖ χρήσιμον, αὐτόν τε τὸν ἀγορεύοντα καὶ τὸν νόμον λαμβάνειν, εἶτα τὸ ὅμοιον τῷ γεγραμμένῳ νόμῳ. εἴη δὲ ἂν τοιόνδε· ὥσπερ γὰρ ὁ νομοθέτης μεγίσταις ζημίαις τοὺς κλέπτας ἐκόλασεν, οὕτω δεῖ καὶ τοὺς ἐξαπατῶντας μάλιστα τιμωρεῖσθαι· καὶ γὰρ οὗτοι κλέπτουσι τὴν διάνοιαν. καί, καθάπερ ὁ νομοθέτης κληρονόμους πεποίηκε τοὺς ἐγγυτάτω γένους ὄντας τοῖς ἄπαισιν ἀποθνήσκουσιν, οὕτω καὶ τῶν τοῦ ἀπελευθέρου χρημάτων ἐμὲ νῦν προσήκει κύριον γενέσθαι· τῶν γὰρ ἀπελευθερωσάντων αὐτὸν τετελευτηκότων ἐγγυτάτω γένους αὐτὸς ὢν καὶ τῶν ἀπελευθέρων δίκαιος ἂν εἴην ἄρχειν. τὸ μὲν οὖν ὅμοιον τῷ νομίμῳ τοῦτον τὸν τρόπον λαμβάνεται· τὸ δ᾽ ἐναντίον ὧδε· εἰ γὰρ ὁ νόμος ἀπαγορεύει τὰ δημόσια διανέμεσθαι, δῆλον ὅτι τοὺς διαιρουμένους αὐτὰ πάντας ἀδικεῖν ὁ νομοθέτης ἔκρινεν. εἰ γὰρ τιμᾶσθαι οἱ νόμοι προστάττουσι τοὺς καλῶς καὶ δικαίως τῶν κοινῶν ἐπιστατήσαντας, δῆλον ὡς καὶ τοὺς τὰ δημόσια διαφθείραντας τιμωρίας ἀξίους νομίζουσιν. ἐκ μὲν οὖν τῶν ἐναντίων καταφανὲς οὕτω γίνεται τὸ νόμιμον, ἐκ δὲ τῶν κεκριμένων ὧδε· καὶ οὐ μόνον ἐγὼ τὸν νόμον τοῦτον εἵνεκα τούτων φημὶ τὸν νομοθέτην δεῖ-

---

2. οὕτω] Fort. post τιμωρεῖσθαι ponendum. 4. μόνον BM Aldus. 7. μελετῶν πολλάκις] Fort. μετιὼν πολλαχῶς. 12. δεῖ] δὴ M Aldus. 19. ἂν εἴην] εἰμι F, ὦ M, ὢν C, ἂν εἴη AB Aldus. 20. τοῦτο E. 22. πάντα M. 24. ἐπιστήσαντας C Aldus. 25. διαφθείραντας EG: διαφθείροντας ceteri. 28. ἕνεκα CFM.

ναι, ἀλλὰ καὶ πρότερον οἱ δικασταὶ διεξιόντος Λυσιθείδου παραπλήσια τοῖς νῦν ὑπ᾽ ἐμοῦ λεγομένοις ἐψηφίσαντο ταὐτὰ περὶ τοῦ νόμου τούτου.

Τὸ μὲν οὖν νόμιμον οὕτω μετιόντες πολλαχῶς δείξομεν· τὸ δὲ συμφέρον αὐτὸ μὲν οἷόν ἐστιν, ἐν τοῖς πρότερον ὥρισται. δεῖ δὲ λαμβάνειν εἰς τοὺς λόγους τῶν προειρημένων καὶ ἐκ τοῦ συμφέροντος ἂν ὑπάρχῃ τι, καὶ μετιόντας τὸν αὐτὸν τρόπον, ὅνπερ ὑπὲρ τοῦ νομίμου καὶ τοῦ δικαίου διήλθομεν, οὕτω καὶ τὸ συμφέρον πολλαχῶς ἐμφανίζειν. εἴη δ᾽ ἂν τὸ μὲν ὅμοιον τῷ συμφέροντι τοιόνδε· ὥσπερ γὰρ ἐν τοῖς πολέμοις συμφέρει τοὺς εὐψυχοτάτους πρώτους τάττειν, οὕτως ἐν ταῖς πολιτείαις λυσιτελεῖ τοὺς φρονιμωτάτους καὶ δικαιοτάτους προεστάναι τοῦ πλήθους. καί, καθάπερ τοῖς ἀνθρώποις ὑγιαίνουσι συμφέρει φυλάττεσθαι μὴ νοσήσωσιν, οὕτω καὶ ταῖς πόλεσιν ὁμονοούσαις συμφέρον ἐστὶ προσκοπεῖν μὴ στασιάσωσιν. τὰ μὲν οὖν ὅμοια τῷ συμφέροντι τοῦτον τὸν τρόπον μετιὼν πολλὰ ποιήσεις, ἐκ δὲ τῶν ἐναντίων ὧδέ σοι τὸ συμφέρον ἔσται καταφανές. εἰ γὰρ λυσιτελεῖ τοὺς ἐπιεικεῖς τῶν πολιτῶν τιμᾶν, συμφέρον ἂν εἴη καὶ τοὺς πονηροὺς κολάζειν. εἰ γὰρ οἴεσθε ἀσύμφορον τὸ μόνους ἡμᾶς πρὸς Θηβαίους πολεμεῖν, συμφέρον ἂν εἴη τὸ Λακεδαιμονίους συμμάχους ποιησαμένους ἡμᾶς οὕτω Θηβαίοις πολεμεῖν. ἐκ μὲν δὴ τῶν ἐναντίων οὕτω τὸ συμφέρον καταφανὲς ποιήσεις, τὸ δὲ κεκριμένον ὑπ᾽ ἐνδόξων συμφέρον ὧδε χρὴ λαμβάνειν· Λακεδαιμόνιοί τε γὰρ Ἀθηναίους καταπολεμήσαντες συμφέρειν αὐτοῖς ᾠήθησαν μὴ τὴν πόλιν αὐτῶν ἀνδραποδίσασθαι, καὶ πάλιν Ἀθηναῖοι ἐξὸν αὐτοῖς ἀνοικίσαι τὴν

---

1. *Λυσιθίδου* libri. 3. *ταὐτὰ*] *ταῦτα* libri. 4. *πολλαχοῦ* ABE. 11. *ξυμφέρει* CDFM. 14. *καὶ* post *πλήθους* om. DprA. 16. *σκοπεῖν* CEFGM. 21. Fort. *καί, εἰ γὰρ. οἴεσθαι* D. 27. *μὴ τὴν . . . ᾠήθησαν* om. M.

Σπάρτην συμφέρειν σφίσιν ᾠήθησαν περιποιῆσαι Λακεδαιμονίους.

Περὶ μὲν οὖν τοῦ δικαίου καὶ τοῦ νομίμου καὶ τοῦ συμφέροντος οὕτω μετιὼν εὐπορήσεις· τὸ δὲ καλὸν καὶ τὸ ῥᾴδιον καὶ τὸ ἡδὺ καὶ τὸ δυνατὸν καὶ τὸ ἀναγκαῖον ὁμοιοτρόπως τούτοις μέτιθι. καὶ περὶ μὲν τούτων ἐντεῦθεν εὐπορήσομεν.

2 *Πάλιν δὲ ὁρισώμεθα καὶ περὶ πόσων καὶ περὶ ποίων καὶ τίνων ἔν τε τοῖς βουλευτηρίοις καὶ ταῖς ἐκκλησίαις συμβουλεύομεν· ἂν γὰρ τούτων ἕκαστα σαφῶς ἐπιστώμεθα, τοὺς μὲν ἰδίους λόγους αὐτὰ τὰ πράγματα καθ' ἑκάστην ἡμῖν συμβουλίαν παραδώσει· τὰς δὲ κοινὰς ἰδέας ἐκ πολλοῦ προειδότες ἐπιφέρειν ἐφ' ἑκάσταις τῶν πράξεων ῥᾳδίως δυνησόμεθα. τούτων οὖν ἕνεκα διαιρετέον ἡμῖν, περὶ ὧν κοινῇ βουλεύονται πάντες.*

Ἐν κεφαλαίῳ μὲν οὖν εἰπεῖν εἰσὶν ἑπτὰ τὸν ἀριθμὸν προθέσεις, περὶ ὧν δημηγορήσομεν· ἀνάγκη γάρ ἐστι καὶ βουλεύεσθαι καὶ λέγειν ἡμᾶς ἐν βουλῇ καὶ δήμῳ ἢ περὶ ἱερῶν, ἢ περὶ νόμων, ἢ περὶ τῆς πολιτικῆς κατασκευῆς, ἢ περὶ τῶν πρὸς τὰς ἄλλας πόλεις συμμαχιῶν καὶ συμβολαίων, ἢ περὶ πολέμων, ἢ περὶ εἰρήνης, ἢ περὶ πόρου χρημάτων. αἱ μὲν οὖν προθέσεις αὗται τυγχάνουσιν οὖσαι, περὶ ὧν βουλευσόμεθα καὶ δημηγορήσομεν· ἑκάστην δὲ πρόθεσιν διελώμεθα καὶ σκοπῶμεν, ἐν οἷς τρόποις ἐνδέχεται περὶ τούτων λόγῳ χρήσασθαι.

Περὶ μὲν οὖν ἱερῶν τριττῶς ἀναγκαῖον λέγειν· ἢ γὰρ

---

1. *ποιῆσαι* C. *Λακεδαιμονίοις* CM. 3. *οὖν* om. F. *νομίμου καὶ τοῦ δικαίου* DprC. 5. *τὸ* ante *ἀναγκαῖον* om. DV. 6. *τούτοις* om. M. *τούτων*] *αὐτῶν* CFM. 8. *ὁρισόμεθα* C, *διορισώμεθα* FM Aldus. *περὶ* ante *ποίων* om. CFG Aldus. 10. *συμβουλεύσομεν* EV Aldus, *βουλεύομεν* C. *ἐπισταίμεθα* M et Victorii codex. 14. *οὖν*] om. FM, *μὲν οὖν* EV. 20. *τὰς ἄλλας* CFM: *ἄλλας* ceteri. 21. *ἢ περὶ εἰρήνης* om. M. 25. *περὶ τούτων ἐνδέχεται* CDFM. *λόγῳ* om. CMprF. 26. *τριττῶς* Bekkerus: *περιττῶς* libri praeter C qui *περιττοῖς*.

ἐροῦμεν ὡς τὰ καθεστῶτα διαφυλακτέον, ἢ ὡς ἐπὶ τὸ μεγαλοπρεπέστερον [πως], ἢ ὡς ἐπὶ τὸ ταπεινότερον. ὅταν μὲν οὖν λέγωμεν, ὡς δεῖ τὰ καθεστῶτα διαφυλάττειν, εὑρήσομεν ἀφορμὰς ἐκ μὲν τοῦ δικαίου λέγοντες, [ὅτι] τὰ πάτρια ἔθη παρὰ πᾶσι παραβαίνειν ἄδικόν ἐστι, καὶ ὅτι τὰ μαντεῖα πάντα τοῖς ἀνθρώποις προστάττει κατὰ τὰ πάτρια ποιεῖσθαι τὰς θυσίας, καὶ ὅτι τῶν πρώτων οἰκιζόντων τὰς πόλεις καὶ τοῖς θεοῖς ἱδρυσαμένων τὰ ἱερὰ μάλιστα δεῖ διαμένειν τὰς περὶ τοὺς θεοὺς ἐπιμελείας. ἐκ δὲ τοῦ συμφέροντος, ὅτι πρὸς χρημάτων συντέλειαν ἢ τοῖς ἰδιώταις ἢ τῷ κοινῷ τῆς πόλεως συμφέρον ἔσται κατὰ τὰ πάτρια τῶν ἱερῶν θυομένων, καὶ ὅτι πρὸς εὐτολμίαν λυσιτελεῖ τοῖς πολίταις, ἐπεὶ συμπομπευόντων ὁπλιτῶν ἱππέων ψιλῶν εὐτολμότεροι γένοιντ' ἂν οἱ πολῖται φιλοτιμούμενοι περὶ ταῦτα. ἐκ δὲ τοῦ καλοῦ, εἰ οὕτω καλὰς τὰς ἑορτὰς πρὸς τὸ θεωρῆσαι συμβέβηκεν. ἐκ δὲ τῆς ἡδονῆς, εἰ καὶ πρὸς τὸ θεωρεῖσθαι ποικιλία τις περὶ τὰς τῶν θεῶν θυσίας. ἐκ δὲ τοῦ δυνατοῦ, εἰ μήτε ἔνδεια γεγένηται μήτε ὑπερβολὴ περὶ ταύτας. ὅταν μὲν οὖν τοῖς καθεστῶσι συνηγορῶμεν, οὕτω μετιοῦσι σκεπτέον ἐπὶ τῶν προειρημένων ἢ τῶν τούτοις ὁμοιοτρόπων, καὶ ὡς ἐνδέχεται διδάσκειν περὶ τῶν λεγομένων· ὅταν δὲ ἐπὶ τὸ μεγαλοπρεπέστερον συμβουλεύωμεν μεθιστάναι τὰς ἱεροποιίας, περὶ μὲν τοῦ τὰ πάτρια κινεῖν ἀφορμὰς ἕξομεν εὐπρεπεῖς, λέγοντες, [ὅτι] τὸ προστιθέναι τοῖς ὑπάρχουσιν οὐ καταλύειν ἐστὶν ἀλλ' αὔξειν τὰ καθεστῶτα· ἔπειθ' ὡς καὶ τοὺς θεοὺς

---

1. φυλακτέον D. 2. πως] ὄντως V, ὄντος D. delendum est. 4. ὅτι Basil.: om. libri. 5. διότι ABDEFG. 7. πρῶτον G. οἰκίζοντας V. 9. διαφέρειν GprE. 13. τοῖς om. AEGV. συμπολιτευόντων M. 14. ψιλοὶ DV. γένοιτ' M. 15. καλοῦ] λαμπροῦ D. καλὰς CFM: λαμπρὰς ceteri, τὰς om. prA. 16. θεωρῆσαι] θεωρεῖσθαι CFM. καὶ προσθεωρεῖσθαι DV. 17. τις] τῆς CM Aldus, om. Bekkerus (ex BV ?). 18. γεγένηται Aldus: γένηται libri. 21. δέχεται B. 23. καθιστάναι prE. τὰς] τῆς V. 25. ὅτι Basil.: om. libri. 26. καὶ — ἔπειθ' ὡς om. M.

εἰκὸς εὐνουστέρους εἶναι τοῖς μᾶλλον αὐτοὺς τιμῶσιν· ἔπειθ' ὡς οὐδὲ οἱ πατέρες ἀεὶ κατὰ τὰ αὐτὰ τὰς θυσίας ἦγον, ἀλλὰ πρὸς τοὺς καιροὺς καὶ τὰς εὐπραγίας ὁρῶντες καὶ ἰδίᾳ καὶ κοινῇ τὴν πρὸς τοὺς θεοὺς θεραπείαν ἐνομοθέτουν· ἔπειθ' ὡς καὶ ἐπὶ τῶν λοιπῶν ἁπάντων οὕτω καὶ τὰς πόλεις καὶ τοὺς ἰδίους οἴκους διοικοῦμεν. λέγε δὲ καὶ εἰ τούτων κατασκευασθέντων ὠφέλειά τις ἔσται τῇ πόλει ἢ λαμπρότης ἢ ἡδονὴ μειὼν ὥσπερ ἐπὶ τῶν προτέρων εἴρηται. ὅταν δὲ ἐπὶ τὸ ταπεινότερον συστέλλωμεν, πρῶτον μὲν ἐπὶ τοὺς καιροὺς τὸν λόγον ἀνακτέον, τί πράττοντες χεῖρον οἱ πολῖται τυγχάνουσι νῦν ἢ πρότερον· ἔπειθ' ὡς οὐκ εἰκὸς τοὺς θεοὺς χαίρειν ταῖς δαπάναις τῶν θυομένων, ἀλλὰ ταῖς εὐσεβείαις τῶν θυόντων· εἶθ' ὡς πολλὴν ἄνοιαν τούτων καὶ οἱ ἄνθρωποι κατακρίνουσιν, ὅσοι παρὰ δύναμίν τι ποιοῦσιν· ἔπειθ' ὅτι οὐκ ἐπὶ τοῖς ἀνθρώποις μόνοις ἀλλὰ καὶ ἐπὶ ταῖς εὐπραγίαις καὶ κακοπραγίαις ἐστὶ τὰ περὶ τὰς πολιτικὰς δαπάνας. ἀφορμὰς μὲν οὖν ταύτας καὶ τὰς ὁμοιοτρόπους ταύταις ὑπὲρ τῶν περὶ τὰς θυσίας προθέσεων ἕξομεν· ἵνα δὲ καὶ τὰ κατὰ τὴν κρατίστην θυσίαν εἰδῶμεν εἰσηγεῖσθαι καὶ νομοθετεῖν, ὁρισώμεθα καὶ ταύτην. ἔστι γὰρ κρατίστη θυσία πασῶν ἥτις ἂν ἔχῃ πρὸς μὲν τοὺς θεοὺς ὁσίως [καὶ θείως], πρὸς δὲ τὰς δαπάνας μετρίως, πρὸς δὲ πόλεμον

---

1. εἰκὸς **ACF, mg. E, Veneta:** νῦν **ceteri.** 2. οὐδὲ **Bekkerus:** οὔτε **libri (**οὔτ' **sic EG).** 3. τὰς] πρὸς τὰς **C.** 4. ἐνουθέτουν **Aldus.** 5. ἔπειθ' ὡς] **Fort.** ἐπεὶ. 6. λέγω **M,** λέγεται **C.** 7. καὶ εἰ **om. EG.** 10. μὲν **om M.** 11. οἱ πολῖται τυγχάνουσι] **om. CM,** ἔχουσι **F.** 14. καὶ] καὶ οἱ θεοὶ καὶ **DEFG Aldus Bekkerus.** 16. μόνοις **CFM:** μόνον **ceteri.** 17. τὰ περὶ] τὰς περὶ **B,** τὰ κατὰ **rcV, pr. enim om.** 19. θέσεων **EG.** ἵνα] εἰ **prV.** 20. εἰδῶμεν] δῶμεν **Aldus,** ἴσως δοκῶμεν **Victorius.** 21. ὁρισώμεθα] **om. ADV,** ὁριοῦμαι **CFMrcV,** ὁρισόμεθα **E Aldus.** 22. ἥτις] εἴ τις **Aldus.** ἔχοι **ADEFGV, om. B.** καὶ θείως **inclusit Bekkerus.** 23. πόλεμον] τὸν πόλεμον **B. Fort.** τοὺς πολέμους, **ita ut hoc colon post** λαμπρῶς **ponatur.**

ὠφελίμως, πρὸς δὲ τὰς θεωρίας λαμπρῶς. ἕξει δὲ πρὸς μὲν τοὺς θεοὺς ὁσίως, ἂν τὰ πάτρια μὴ καταλύηται· πρὸς δὲ τὰς δαπάνας μετρίως, ἐὰν μὴ πάντα τὰ πεμπόμενα καταναλίσκηται· πρὸς δὲ τὰς θεωρίας λαμπρῶς, ἐὰν χρυσῷ καὶ τοῖς τοιούτοις ἃ μὴ συναναλίσκεται, δαψιλῶς τις χρήσηται· πρὸς δὲ τοὺς πολέμους ὠφελίμως, ἐὰν ἱππεῖς καὶ ὁπλῖται διεσκευασμένοι συμπομπεύωσιν. τὰ μὲν δὴ περὶ τοὺς θεοὺς ἐκ τούτων κάλλιστα κατασκευάσομεν, ἐκ δὲ τῶν πρότερον εἰρημένων καθ' οὓς ἐνδέχεται τρόπους δημηγορεῖν περὶ ἑκάστης ἱεροποιίας εἰσόμεθα.

Περὶ δὲ νόμων πάλιν καὶ τῆς πολιτικῆς κατασκευῆς ὁμοιοτρόπως διέλθωμεν. εἰσὶ δὲ νόμοι συλλήβδην μὲν εἰπεῖν ὁμολογήματα κοινὰ πόλεως, ἃ διὰ γραμμάτων ὁρίζει καὶ προστάττει πῶς χρὴ πράττειν ἕκαστα. δεῖ δὲ αὐτῶν τὴν θέσιν ἐν μὲν ταῖς δημοκρατίαις τὰς μικρὰς ἀρχὰς καὶ τὰς πολλὰς κληρωτὰς ποιεῖν· ἀστασίαστον γὰρ τοῦτο· τὰς δὲ μεγίστας χειροτονητὰς ἀπὸ τοῦ πλήθους. οὕτω γὰρ ὁ μὲν δῆμος κύριος ὢν διδόναι τὰς τιμὰς οἷς ἂν ἐθέλῃ, τοῖς λαμβάνουσιν αὐτὰς οὐ φθονήσει, οἱ δ' ἐπιφανέστεροι μᾶλλον τὴν καλοκαγαθίαν ἀσκήσουσιν, εἰδότες ὅτι τὸ παρὰ τοῖς πολίταις εὐδοκιμεῖν οὐκ ἀλυσιτελὲς αὐτοῖς ἔσται. περὶ μὲν οὖν τὰς ἀρχαιρεσίας ἐν τῇ δημοκρατίᾳ οὕτω δεῖ νομοθετεῖν, περὶ δὲ τὴν ἄλλην διοίκησιν καθ' ἓν μὲν ἕκαστον διελθεῖν πολὺ ἂν ἔργον εἴη, συλλήβδην δὲ δεῖ παραφυλάττειν ὅπως οἱ νόμοι τὸ μὲν πλῆθος ἀποτρέψωσι τοῖς τὰς οὐσίας ἔχουσιν ἐπιβουλεύειν, τοῖς δὲ πλουτοῦσιν

---

2. ἂν nostri: ἐὰν Bekkerus (ex BV?). 3. ἂν ACFM. 5. συναναλίσκηται GM. 6. χρήσεται M. 7. συμπομπεύσωσι C, συμπομπεύουσι M. 8. κατασκευάσωμεν C. 11. πάλιν] in ras. E, πάλαι DV. 13. ἃ] ἃ καὶ C. πραγμάτων V. 14. ἕκαστα πράττειν CFM. 17. ἀπὸ] Fort. ὑπὸ. 18. μὲν γὰρ ὁ ABDEGV. 19. ἐθέλοι CDFMV, ἐθέλοι G. αὐτὰς] εἰδότες αὐτὰς M. 21. παρὰ] περὶ C. 24. μὲν om. FM. 25. ἀποστρέψωσι V.

εἰς τὰς κοινὰς λειτουργίας ἐκουσίαν ἅπασαν φιλοτιμίαν ἐμποιήσωσιν. τοῦτο δὲ οὕτως ἂν κατασκευάσειεν, εἰ τοῖς μὲν τὰς οὐσίας ἔχουσιν ἀντὶ τῶν εἰς τὸ κοινὸν δαπανωμένων τιμαί τινες ἀπὸ τῶν νόμων ἀφωρισμέναι τυγχάνοιεν, τῶν δὲ πενομένων τοὺς τὴν χώραν ἐργαζομένους καὶ ναυκληροῦντας τῶν ἀγοραίων μᾶλλον προτιμῷεν, ὅπως οἱ μὲν πλουτοῦντες ἑκόντες τῇ πόλει λειτουργήσωσι, τὸ δὲ πλῆθος οὐ συκοφαντίας ἀλλ' ἐργασίας ἐπιθυμήσῃ. δεῖ δὲ πρὸς τούτοις καὶ περὶ τοῦ μήτε χώραν ποιεῖν ἀνάδαστον μήτε δημεύειν τὰς οὐσίας τῶν τελευτώντων ἰσχυροὺς κεῖσθαι νόμους, καὶ μεγάλας ἐπικεῖσθαι τιμωρίας τοῖς παραβαίνουσι ταῦτα. χρὴ δὲ τοῖς ἐν πολέμῳ τελευτῶσιν εἰς ταφήν τι χωρίον δημόσιον ἐν καλῷ πρὸ τῆς πόλεως ἀφωρισμένον, καὶ τοῖς παισὶν αὐτῶν ἕως ἥβης δημοσίαν τροφὴν δίδοσθαι. τῶν μὲν οὖν ἐν τῇ δημοκρατίᾳ νόμων τὴν θέσιν τοιαύτην δεῖ ποιεῖσθαι· περὶ δὲ τὰς ὀλιγαρχίας τὰς μὲν ἀρχὰς δεῖ τοὺς νόμους ἀπονέμειν ἐξ ἴσου πᾶσι τοῖς τῆς πολιτείας μετέχουσι, τούτων δὲ εἶναι τὰς μὲν πλείστας κληρωτάς, τὰς δὲ μεγίστας κρυπτῇ ψήφῳ μεθ' ὅρκων καὶ πλείστης ἀκριβείας διαψηφιστάς. δεῖ δὲ τὰς ζημίας ἐν τῇ ὀλιγαρχίᾳ μεγίστας ἐπικεῖσθαι τοῖς ὑβρίζειν τινὰς τῶν πολιτῶν ἐπιχειροῦσιν· τὸ γὰρ πλῆθος οὐχ οὕτω τῶν ἀρχῶν ἀγανακτεῖ στερούμενον, ὡς ἔχει βαρέως ὑβριζόμενον. χρὴ δὲ καὶ τὰς διαφορὰς τῶν πολιτῶν ὅτι τάχιστα διαλύειν καὶ μὴ χρονίζεσθαι, μηδὲ συνάγειν ἐκ τῆς χώρας ἐπὶ τὴν πόλιν τὸν ὄχλον· ἐκ γὰρ τῶν τοιούτων συνόδων συστρέφεται τὰ πλήθη καὶ καταλύει τὰς ὀλιγαρχίας. καθόλου

---

2. **Fort.** κατασκευάσαιεν. 5. ἐργαζομένων **M.** 10. κεῖσθαι] ποικεῖσθαι
εἶσθαι **EG.** 13. ἀφωρισμένον] **adde** εἶναι, **editi ex Veneta** ἀφωρίσθαι. 14. ἕως] ἕως ἐς **C.** 17. πᾶσι **om. EG.** τὴν πολιτείαν **DV.** 21. ὀλιγαρχίᾳ] πολιαρχία **GprE.** 22. οὕτω τῶν] οὕτω **Aldus, unde** οὕτως **editi praeter Bekkerum.** 23. στερόμενον **CFGM.**

δὲ εἰπεῖν, δεῖ τοὺς νόμους ἐν μὲν ταῖς δημοκρατίαις κωλύειν τοὺς πολλοὺς ταῖς τῶν πλουσίων οὐσίαις ἐπιβουλεύειν, ἐν δὲ ταῖς ὀλιγαρχίαις ἀποτρέπειν τοὺς τῆς πολιτείας μετέχοντας ὑβρίζειν τοὺς ἀσθενεστέρους καὶ συκοφαντεῖν τοὺς πολίτας. ὧν μὲν οὖν ὀρέγεσθαι δεῖ τοὺς νόμους καὶ τὴν πολιτικὴν κατασκευήν, ἐκ τούτων οὐκ ἀγνοήσεις· δεῖ δὲ τὸν συναγορεύειν ἐθέλοντα νόμῳ δεικνύειν τοῦτον ἴσον ὄντα τοῖς πολίταις ὁμολογούμενόν τε τοῖς ἄλλοις νόμοις καὶ συμφέροντα τῇ πόλει μάλιστα μὲν πρὸς ὁμόνοιαν, εἰ δὲ μή, πρὸς τὴν τῶν πολιτῶν καλοκαγαθίαν ἢ πρὸς τὰς κοινὰς προσόδους ἢ πρὸς εὐδοξίαν τῷ κοινῷ τῆς πόλεως ἢ πρὸς τὴν πολιτικὴν δύναμιν ἢ πρὸς ἄλλο τι τῶν τοιούτων· ἀντιλέγοντα δὲ σκοπεῖν πρῶτον μὲν εἰ μὴ κοινὸς ὁ νόμος· ἔπειτα εἰ μὴ τοῖς ἄλλοις ὁμολογῶν ἀλλ' ὑπεναντίος ἔσται· ἐπὶ τούτοις εἰ μὴ πρὸς μηδὲν τῶν εἰρημένων συμφέρων ἀλλὰ τοὐναντίον βλαβερός.

Περὶ μὲν οὖν νόμων καὶ τῆς κοινῆς κατασκευῆς ἐντεῦθεν καὶ τιθέναι καὶ λέγειν εὐπορήσομεν· περὶ δὲ συμμάχων καὶ τῶν πρὸς τὰς ἄλλας πόλεις συμβολαίων διελθεῖν ἐπιχειρήσομεν. τὰ μὲν οὖν συμβόλαια καὶ τὰς τάξεις ἀναγκαῖον κατὰ συνθήκας κοινὰς γίνεσθαι, συμμάχους δὲ ποιεῖσθαι κατὰ τοὺς καιροὺς τούτους, ὅταν τινὲς καθ' ἑαυτοὺς ὦσιν ἀσθενεῖς, ἢ πόλεμός τις ᾖ προσδόκιμος ἢ διὰ τοῦτο ποιήσασθαι συμμαχίαν πρός τινας ὅτι πολέμῳ ἀποστήσειν τινὰς νομίζουσιν. αἰτίαι μὲν οὖν αὗται καὶ παραπλήσιαι ταύταις ἄλλαι πλείους [τοῦ ποιεῖσθαι συμ-

---

1. μὲν om. V. 2. πολλαῖς M. 3. τῆς πολιτείας] πολίταις M. 13. δὲ] δεῖ CM, δεῖ F, δὲ δεῖ ex Veneta editi praeter Bekkerum. 18. Fort. τῶν συμμαχιῶν τῶν . . καὶ συμβολαίων. 20. τάξεις ἀναγκαῖον] πράξεις EG. 21. κατὰ] κατὰ τὰς V. 23. τις ᾖ] τις ἢ C, ᾖ τις ABDEGV, τις ᾖ ἢ mg. Venetae. 25. καὶ] καὶ αἱ CFM Aldus. 26. τοῦ ποιεῖσθαι συμμάχους] om. ABEG.

μάχους] εἰσίν. δεῖ δὲ ὅταν συναγορεύειν βούλῃ τῇ γινομένῃ συμμαχίᾳ, τὸν καιρὸν τοιοῦτον ὑπάρχοντα ἐμφανίζειν, καὶ δεικνύναι τοὺς τὴν συμμαχίαν ποιουμένους μάλιστα μὲν δικαίους ὄντας καὶ πρότερόν τι τῇ πόλει ἀγαθὸν πεποιηκότας καὶ δύναμιν μεγάλην ἔχοντας καὶ πλησίον τοῖς τόποις κατοικοῦντας· εἰ δὲ μή, τούτων ἅπερ ἂν ὑπάρχῃ, ταῦτα συνάγειν. ὅταν δὲ διακωλύῃς τὴν συμμαχίαν, ἐμφανίζειν ἐνδέχεται πρῶτον μὲν ὡς οὐκ ἀναγκαῖον ποιεῖσθαι νῦν αὐτήν, ἔπειθ' ὡς οὐ δίκαιοι τυγχάνουσιν ὄντες, εἶθ' ὡς πρότερον ἡμᾶς κακῶς πεποιηκότες, εἰ δὲ μή, ὡς μακρὰν τοῖς τόποις ἀπέχοντες καὶ οὐχ ὑπάρχοντες δυνατοὶ κατὰ τοὺς προσήκοντας παραγενέσθαι καιρούς. ταῖς μὲν οὖν ἀντιλογίαις καὶ ταῖς συνηγορίαις ταῖς περὶ τῶν συμμάχων ἐκ τούτων καὶ τῶν τούτοις ὁμοιοτρόπων εὐπορήσομεν χρῆσθαι.

Περὶ εἰρήνης δὲ πάλιν καὶ πολέμου τὸν αὐτὸν τρόπον τὰς μεγίστας ἰδέας ἐκλάβωμεν. προφάσεις μὲν οὖν εἰσι τοῦ πόλεμον ἐκφέρειν πρός τινας αὗται· δεῖ πρότερον ἀδικηθέντας νῦν καιρῶν παραπεπτωκότων ἀμύνασθαι τοὺς ἀδικήσαντας ἢ νῦν ἀδικουμένους ὑπὲρ ἑαυτῶν πολεμεῖν ἢ ὑπὲρ συγγενῶν ἢ ὑπὲρ εὐεργετῶν ἢ συμμάχοις ἀδικουμένοις βοηθεῖν, ἢ τοῦ τῇ πόλει συμφέροντος ἕνεκεν, ἢ εἰς εὐδοξίαν, ἢ εἰς εὐπορίαν, ἢ εἰς δύναμιν, ἢ εἰς ἄλλο τι τῶν τοιούτων. ὅταν μὲν οὖν ἐπὶ τὸ πολεμεῖν παρακαλῶμεν, τούτων τε τῶν προφάσεων ὅτι πλείστας συνακτέον καὶ μετὰ ταῦτα δεικτέον, ἐξ ὧν ἔστι περιγενέσθαι τῷ πολέμῳ, ὅτι τὰ πλεῖ-

---

1. *βούλει* DM. *τὴν γινομένην συμμαχίαν* prE. 2. *τῶν καιρῶν τούτων τοὺς ὑπάρχοντας* DEMV et om. *τούτων* C. 7. *ἂν ὑπάρχῃ*] *ὑπάρχει* M. 8. *ἀναγκαῖον* C: *ἀνάγκη* ceteri. 10. *πρότεροι* M. 12. *παραγίνεσθαι* F. 18. *δεῖ*] *δεῖ δὲ* CFM. 20. *ἀδικουμένους*] *ἀδικηθέντας* CFM. *αὐτῶν* C, *αὐτῶν* F. 25. *συντακτέον* GV. *μετὰ*] *κατὰ* M.
26. *τοῦ πολέμου* DV, *τῷ πολέμῳ* F. *τὰ* om. AB.

στα τούτων τοῖς παρακαλουμένοις ὑπάρχοντά ἐστιν. περιγίνονται δὲ πάντες ἢ διὰ τὴν τῶν θεῶν εὔνοιαν, ἣν εὐτυχίαν προσαγορεύομεν, ἢ διὰ σωμάτων πλῆθος καὶ ῥώμην, ἢ διὰ χρημάτων εὐπορίαν, ἢ διὰ στρατηγοῦ φρόνησιν, ἢ διὰ συμμάχων ἀρετήν, ἢ διὰ τόπων εὐφυΐαν. τούτων οὖν καὶ τῶν τοιούτων τὰ τοῖς πράγμασιν οἰκειότατα λαμβάνοντες ἐμφανιοῦμεν, ὅταν ἐπὶ τὸ πολεμεῖν παρακαλῶμεν, τὰ μὲν τῶν ἐναντίων ταπεινοῦντες, τὰ δ' ἡμέτερα ταῖς αὐξήσεσι μεγάλα καθιστῶντες. ἐὰν δὲ πόλεμον μέλλοντα γίνεσθαι διακωλύειν ἐπιχειρῶμεν, πρῶτον μὲν διὰ προφάσεων δεικτέον ἢ παντελῶς οὐδεμίαν ὑπάρχουσαν, ἢ μικρὰς καὶ ταπεινὰς οὔσας τὰς δυσχερείας· ἔπειθ' ὡς οὐ συμφέρει πολεμεῖν, διεξιόντα τὰ κατὰ τὸν πόλεμον ἀτυχήματα τοῖς ἀνθρώποις. πρὸς δὲ τούτοις τὰ πρὸς νίκας συντείνοντα τοῦ πολέμου τοῖς ἐναντίοις ὑπάρχοντα μᾶλλον δεικτέον· ταῦτα δέ ἐστιν ἅπερ ἀρτίως κατηρίθμηται. γίνεσθαι μὲν οὖν μέλλοντα πόλεμον ἐκ τούτων ἀποτρεπτέον. ἤδη δ' ἐνεστῶτα παύειν ἐπιχειροῦντας, ἐὰν μὲν κρατῶσιν οἱ συμβουλευόμενοι, αὐτὸ τοῦτο πρῶτον λεκτέον, ὅτι δεῖ τοὺς νοῦν ἔχοντας μὴ περιμένειν, ἕως ἂν πέσωσιν, ἀλλ' ἐν τῷ κρατεῖν ποιεῖσθαι τὴν εἰρήνην· ἔπειτα διότι πέφυκεν ὁ πόλεμος καὶ τῶν εὐτυχούντων ἐν αὐτῷ πολλοὺς ἀπολλύναι· ἡ δ' εἰρήνη τοὺς μὲν ἡττωμένους σώζειν, τοὺς δὲ νικῶντας, ὧν ἕνεκεν ἐπολέμησαν, [παρέχειν] ἀπολαύειν· διεξι-

---

2. εὐψυχίαν προσαγορεύοιμεν **CDFM**. 5. εὐφυΐαν] εὐποιίαν **M**. οὖν] μὲν οὖν **G Aldus**. 6. τοιούτων] τοιούτων ὁμοιοτρόπως **DV**, qui τούτοις ὁμοιοτρόπων **voluisse videntur**. οἰκειότατα] οἰκεῖα **D**, οἰκειότερα **ceteri**. 8. τὰ μὲν τῶν ἐναντίων **om. E**. ταῖς **om. F**. 10. γενέσθαι **CFMV**, **in marg. ante** μέλλοντα **addit D**. διὰ] **Fort.** τῶν. 12. ὡς **om. DG**, οὐ **om. V**. 16. κατηρίθμηνται **F**. 17. πόλεμον μέλλοντα **CEFMV**. 18. ἐπιχειροῦντες **FV**. μὲν **om. DG**. συμβουλευόμενοι] **Fort.** βουλευόμενοι. 20. ἂν **om. CFM**. 23. τοὺς **om. prA**. ἡλαττωμένους **M**. 24. ὧν ἕνεκεν] **om. prC**, ἀπολλύναι ἐνε **M**, ὧν ἐκ τοῦ **F**. ἐπολέμησαν] πόλεμον ἐκτήσαντο **F**. παρέχειν **om CFMVprA**.

τέον δὲ τὰς μεταβολὰς τὰς ἐν τῷ πολέμῳ, ὡς πολλαὶ καὶ παράλογοι γίνονται. τοὺς μὲν οὖν ἐν τῷ πολέμῳ κρατοῦντας ἐκ τῶν τοιούτων ἐπὶ τὴν εἰρήνην παρακλητέον, τοὺς δὲ ἐπταικότας ἐξ αὐτῶν τε τῶν συμβάντων καὶ ἐκ τοῦ μὴ παροξύνεσθαι τοῖς προαδικήσασι ταῖς συμφοραῖς πειθομένους, καὶ ἐκ τῶν κινδύνων τῶν γεγενημένων τοῦ μὴ ποιήσασθαι τὴν εἰρήνην, καὶ ἐκ τοῦ κρεῖττον εἶναι τοῖς κρείττοσι μέρος τι τῶν ὑπαρχόντων προέσθαι ἢ πολέμῳ κρατηθέντας αὐτοὺς αὐτοῖς κτήμασιν ἀπολέσθαι. συλλήβδην δὲ τοῦθ' ἡμᾶς εἰδέναι δεῖ, ὅτι τότε πάντες οἱ ἄνθρωποι τοὺς πολέμους εἰώθασι διαλύεσθαι πρὸς ἀλλήλους, ὅταν ἤτοι δίκαια ἀξιοῦν τοὺς ἐναντίους ὑπολαμβάνωσιν, ἢ διενεχθῶσι τοῖς συμμάχοις, ἢ τῷ πολέμῳ κάμνωσιν, ἢ φοβηθῶσι τοὺς ἐναντίους, ἢ στασιάσωσι πρὸς σφᾶς αὐτούς· ὥστε τούτων τε πάντων καὶ τῶν τούτοις ὁμοιοτρόπων τὰ τοῖς πράγμασιν οἰκειότατα συνάγων οὐκ ἀπορήσεις, ὅθεν χρὴ περὶ πολέμου δημηγορεῖν καὶ εἰρήνης.

Λείπεται δ' ἡμᾶς ἔτι περὶ πόρου χρημάτων διελθεῖν. πρῶτον μὲν οὖν σκεπτέον, εἴ τι τῶν τῆς πόλεως κτημάτων ἠμελημένον ἐστὶ καὶ μήτε πρόσοδον ποιεῖ μήτε τοῖς θεοῖς ἐξαίρετόν ἐστιν. λέγω δ' οἷον τόπους τινὰς δημοσίους ἠμελημένους, ἐξ ὧν τοῖς ἰδιώταις ἢ πραθέντων ἢ μισθωθέντων πρόσοδος ἄν τις τῇ πόλει γίγνοιτο· κοινότατος γὰρ ὁ τοιοῦτος πόρος ἐστίν. ἂν δὲ μηδὲν ᾖ τοιοῦτον, ἀπὸ τιμημάτων ἀναγκαῖον ποιήσασθαι τὰς εἰσφοράς, ἢ τοῖς μὲν πένησι τὰ σώματα παρέχειν εἶναι προστεταγμένον εἰς τοὺς

---

1. δὲ] δὲ παρέχειν **B**. 2. οὖν **om. C**. 4. πεπτωκότας **E**. 10. ὑμᾶς **V**. οἱ **om. ABDV Bekkerus**. 12. ἤτοι] **Fort.** ἢ τὰ. 13. τοῖς πολέμοις **C**. 14. φοβηθῶσι] βοηθῶσι **V**. 16. οἰκειότερα **DV**. 17. χρὴ] δεῖ **DG**. 21. ποιεῖν **CMprF Aldus**. 22. ἐστι] τί ἐστι **M**. ἀμελουμένους **FM**. 24. γίνοιτο **D**. 25. ἐστιν] ἀεί **CFM**. 26. ἀναγκαίων **C**.

κινδύνους, τοῖς δὲ πλουτοῦσι τὰ χρήματα, τοῖς δὲ τεχνίταις ὅπλα. συλλήβδην δὲ περὶ πόρων εἰσηγούμενοι φάναι αὐτοὺς ἴσους τοῖς πολίταις καὶ πολυχρονίους καὶ μεγάλους ὄντας, τοὺς δὲ τῶν ἐναντίων τὰ ἐναντία τούτοις ἔχοντας. τὰς μὲν οὖν προθέσεις περὶ ὧν δημηγορήσομεν, καὶ τὰ μέρη τούτων ἐξ ὧν τοὺς λόγους συστήσομεν καὶ προτρέποντες καὶ ἀποτρέποντες, ἐκ τῶν εἰρημένων ἴσμεν. προθέμενοι δὲ πάλιν ἐφεξῆς τό τε ἐγκωμιαστικὸν εἶδος καὶ τὸ ψεκτικὸν περιλάβωμεν.

Συλλήβδην μὲν οὖν ἐστιν ἐγκωμιαστικὸν εἶδος προαιρέσεων καὶ πράξεων καὶ λόγων ἐνδόξων αὔξησις καὶ μὴ προσόντων συνοικείωσις, ψεκτικὸν δὲ τὸ ἐναντίον τούτῳ, τῶν μὲν ἐνδόξων ταπείνωσις, τῶν δὲ ἀδόξων αὔξησις. ἐπαινετὰ μὲν οὖν ἐστι πράγματα τὰ δίκαια καὶ τὰ νόμιμα καὶ τὰ συμφέροντα καὶ τὰ καλὰ καὶ τὰ ἡδέα καὶ τὰ ῥᾴδια πραχθῆναι. ταῦτα δὲ αὐτά τε οἷά ἐστι καὶ ὅθεν αὐτὰ πολλὰ ποιήσομεν, ἐν τοῖς πρὸ τούτων εἴρηται. δεῖ δὲ τὸν εὐλογοῦντα δεικνύειν τοῖς λόγοις ὡς τούτῳ τῷ ἀνθρώπῳ ἢ τοῖς πράγμασιν ὑπάρχει τι τούτων ὑπ᾽ αὐτοῦ κατεργασθὲν ἢ δι᾽ αὐτοῦ πορισθὲν ἢ ἐκ τούτου ἐπισυμβαῖνον ἢ ἕνεκεν τούτου γινόμενον ἢ οὐκ ἄνευ τούτου ἐπιτελούμενον· ὁμοιοτρόπως δὲ καὶ τῷ ψέγοντι τὰ ἐναντία τούτοις δεικτέον προσόντα τῷ ψεγομένῳ. τὸ μὲν ἐκ τούτου· οἷον ἐκ τοῦ φιλογυμναστεῖν τὸ σῶμα αἰ νῖκαι, καὶ ἐκ τοῦ μὴ φιλοπονεῖν ἐπ᾽ ἀρρωστίαν ἐμπίπτειν, καὶ ἐκ τοῦ φιλοσοφεῖν δει-

---

1. τὰ χρήματα] τὰ **abundat.** 2. δὲ] **Fort.** δὲ δεῖ. εἰσηγούμενον **CFM. Fort.** εἰσηγούμενον ἀποφαίνειν. 3. μεγάλους] **nonne** μὴ μεγάλους? 8. εἶδος] ᾗδη **M.** 9. τὸ **om. CEFM.** ψεκτὸν **CM.** 10. ἐστιν **om. BFG, Fort.** ἐστι τὸ. 12. ψεκτὸν **BCFGM.** 15. καὶ καλὰ **CDEMV.** καὶ ἡδέα **D.** τὰ οὐ ῥᾴδια **Basil.** 16. ὅθεν αὐτὰ] ὅθεν αὐτοὶ **libri.** 20. ἢ δι᾽ αὐτοῦ πορισθὲν **om. FG.** ἢ ἐκ τούτου ἐπισυμβαῖνον **om. M.** ἕνεκα **FGM.** 22. τούτοις **DV:** τούτων **ceteri.** 24. φιλοπονεῖν] φιλοχωρεῖν **CFM.**

νότερον εἶναι περὶ φρόνησιν, καὶ ἐκ τοῦ ἀμελεῖν ἐνδεᾶ τῶν ἀναγκαίων εἶναι. τὸ δ' ἕνεκα τούτου· οἷον ἕνεκα τοῦ στεφανωθῆναι ὑπὸ τῶν πολιτῶν πολλοὺς πόνους καὶ κινδύνους ὑπομένουσι, καὶ ἕνεκα τοῦ χαρίσασθαι τοῖς ἐρωμένοις τῶν ἄλλων οὐδὲν φροντίζουσιν. τὸ δὲ μὴ ἄνευ τούτου· οἷον οὐκ ἄνευ τῶν ναυτῶν ναυμαχιῶν νῖκαι, καὶ οὐκ ἄνευ τοῦ πίνειν αἱ παροινίαι. τὰ τοιαῦτα δὲ τοῖς προειρημένοις ὁμοιοτρόπως μετιὼν ἐγκωμίων καὶ ψόγων πολλῶν εὐπορήσεις. αὐξήσεις δὲ καὶ ταπεινώσεις συλλήβδην ἅπαντα τὰ τοιαῦτα τόνδε τὸν τρόπον μετιών, πρῶτον μὲν ἀποφαίνων, ὥσπερ ἀρτίως μετῆλθον, ὑπὸ τουτουὶ πολλὰ γεγενῆσθαι ἢ κακὰ ἢ ἀγαθά. εἷς μὲν οὖν τρόπος τῆς αὐξήσεως οὗτος, δεύτερος δὲ κεκριμένον μεταφέρειν, ἂν μὲν ἐπαινῇς, ἀγαθόν, ἂν δὲ ψέγῃς, κακόν, εἶτα παριστάναι τὸ ὑπό σου λεγόμενον καὶ παραβάλλειν πρὸς ἄλληλα, τοῦ μὲν ὑπὸ σαυτοῦ λεγομένου τὰ μέγιστα διεξιών, τοῦ δ' ἑτέρου τὰ ἐλάχιστα, καὶ οὕτω μέγα φανεῖται. τρίτος δὲ πρὸς τὸ ὑπὸ σαυτοῦ λεγόμενον ἀντιπαραβάλλειν τοὐλάχιστον τῶν ὑπὸ τὴν αὐτὴν ἰδέαν πιπτόντων· φανεῖται γὰρ οὕτω τὸ ὑπό σου λεγόμενον μεῖζον, ὥσπερ οἱ μέτριοι τὰ μεγέθη φαίνονται μείζους, ὅταν πρὸς βραχυτέρους παραστῶσιν. ἔσται δὲ καὶ ὧδε πάντως αὔξειν· εἰ κέκριται μέγα ἀγαθὸν τοῦτο, τούτῳ τι ἐναντίον ἐὰν λέγῃς, μέγα κακὸν φανεῖται. ὡσαύτως δὲ εἰ νομίζεται μέγα κακόν, ἐὰν τούτῳ ἐναντίον λέγῃς, μέγα ἀγαθὸν φανεῖται. ἔστι δὲ καὶ ὧδε μεγάλα

---

1. *περὶ φρόνησιν*] παραφρόνησιν **C**. 2. *τούτου*] τούτων **M**. 4. *χαρίζεσθαι* **Aldus**. 5. *τῶν* **om. V**. 6. *ναυτῶν*] αὐτῶν **F**. 7. *πίπτειν* **M**. 8. *ὁμοιοτρόποις* **DV et corr. E**. 9. *συλλήβδην*] καὶ συλλήβδην **EM**. 11. *ἀποφαίνων*] **Fort. delendum**. *τουτουὶ* **BDMV Bekkerus**, *τουτουδὶ* **Aldus**, *τούτου δὴ* **FG**, *τούτου δὲ* **CE**. 16. *διεξιών*] **Fort.** *διεξιόντα*. 17. *φανεῖται*] *φανῆναι* **libri**. *δὲ* **C: om. ceteri**. 18. *σοῦ* **BFG**. *τἀλάχιστον* **C**. 19. *ὑπὲρ* **C**. *τὴν αὐτὴν*] *ταύτην τὴν* **M**. 21. *βραχυτέρα* **C**. *παριστῶσι* **EM**. 22. *καὶ* **om. CDEMV et prA**. *πάντας* **DV**. 23. *τοῦτο, τούτῳ τι*] **Fort.** *τούτῳ τὸ*. 24. *τοῦτο* **M**.

ποιεῖν τἀγαθὰ ἢ τὰ κακά, ἐὰν ἀποφαίνῃς αὐτὸν ἐκ διανοίας, συμβιβάζων ὡς ἐκ πολλοῦ προενόησεν, ὡς πολλὰ πράττειν ἐπεβάλετο, ὡς πολὺν χρόνον ἔπραττεν, ὡς οὐδεὶς ἄλλος πρότερον τούτοις ἐπεχείρησεν, ὡς μετὰ τούτων ἔπραξε μεθ' ὧν οὐδεὶς ἄλλος, ὡς ἐπὶ τούτοις μεθ' οὓς οὐδεὶς ἕτερος, ὡς ἑκών, ὡς ἐκ προνοίας, ὡς εἰ πάντες τούτῳ ἴσως ποιοῖμεν, εὐδαιμονοῖμεν ἂν ἢ φαύλως πράττοιμεν. χρὴ δὲ καὶ εἰκάζοντα συμβιβάζειν καὶ ἐποικοδομοῦντα τὸ ἕτερον ὡς ἐπὶ τὸ ἕτερον αὔξειν τρόπῳ τοιῷδε· ὅστις δὲ τῶν φίλων κήδεται, τοῦτον εἰκὸς καὶ τοὺς αὐτοῦ γονεῖς τιμᾷν· ὃς δὲ τοὺς γονέας τιμᾷ, οὗτος καὶ τὴν πατρίδα τὴν ἑαυτοῦ εὖ ποιεῖν βουλήσεται. συλλήβδην δέ, ἐὰν πολλῶν αἴτιον ἀποφαίνῃς, ἐάν τε ἀγαθῶν ἐάν τε κακῶν, μεγάλα φανεῖται. σκοπεῖν δὲ καὶ τὸ πρᾶγμα ὁποῖον φανεῖται κατὰ μέρη διαιρούμενον καὶ καθόλου λεγόμενον, καὶ ὁποτέρως ἂν μεῖζον ᾖ, τόνδε τὸν τρόπον αὐτὸ λέγειν. τὰς μὲν οὖν αὐξήσεις οὕτω μετιὼν πλείστας ποιήσεις καὶ μεγίστας· ταπεινώσεις δὲ τοῖς λόγοις καὶ τὰ ἀγαθὰ καὶ τὰ κακὰ τὸν ἐναντίον τρόπον μετιών, ὡς εἰρήκαμεν ἐπὶ τῶν μεγάλων, καὶ μάλιστα μὲν ἂν μηδενὸς αἴτιον ἐπιδεικνύῃς, εἰ δὲ μή, ὡς ἐλαχίστων καὶ σμικροτάτων. ὡς μὲν οὖν ἐγκωμιάζοντες καὶ ψέγοντες αὐξήσομεν καὶ ταπεινώσομεν, ἅπερ ἂν ἐθέλωμεν, ἐκ τούτων ἴσμεν. χρήσιμοι δὲ αἱ τῶν αὐξήσεων ἀφορμαί εἰσι καὶ ἐν τοῖς ἄλλοις εἴδεσιν, ἀλλ' ἡ πλείστη δύναμις αὐτῶν ἐστιν ἐν τοῖς ἐγκωμίοις καὶ ἐν τοῖς ψόγοις. περὶ μὲν οὖν τούτων ἐντεῦθεν εὐπορήσομεν.

---

3. ἐπεβάλετο **MV Bekkerus**, ἐπεβάλλετο **ceteri**. 4. πρότερος **ABEG**. ἐπεχείρησεν **EG**: ἐνεχείρισεν **BC**, ἐνεχείρησεν **ceteri**. 5. ἔπραξαν **E**, ἔπραξεν **A**. οὓς] ὧν **M**. 9. ὡς **abundat**. 11. γονεῖς **om. prA**. ὃς δὲ] ὅστις δὲ **F**. 13. ἂν **ADE**. αἰτίας **DV**. 14. μεγάλα] **Fort.** μέγα. φανῆται **M**. 15. καὶ **CFM**: ἢ **ceteri**. 16. ὁπότερον **F**. 18. τοῖς λόγοις] τὸν λόγον **ADEG**. κακὰ καὶ τὰ ἀγαθὰ **G et prE**. 19. μετιὼν **om. D**. 20. ἐπιδεικνύναι **C**, ἐπιδεικνύεις **E**. 26. οὖν **om. B**.

4 Διέλθωμεν δὲ πάλιν ὁμοιοτρόπως τούτοις τό τε κατηγορικὸν καὶ τὸ ἀπολογητικὸν εἶδος, ὃ περὶ τὴν δικανικήν ἐστι πραγματείαν, αὐτά τε ἐξ ὧν συνέστηκε καὶ ὡς δεῖ αὐτοῖς χρῆσθαι. ἔστι δὲ τὸ μὲν κατηγορικὸν συλλήβδην εἰπεῖν ἀδικημάτων καὶ ἁμαρτημάτων ἐξάγγελσις, τὸ δ' ἀπολογητικὸν ἁμαρτημάτων καὶ ἀδικημάτων κατηγορηθέντων ἢ καθυποπτευθέντων διάλυσις. ἑκατέρου δὲ τῶν εἰδῶν τὰς δυνάμεις τὰς αὐτὰς ἔχοντος, κατηγοροῦντα μὲν ἀναγκαῖον λέγειν, ὅταν μὲν εἰς πονηρίαν κατηγορῇ, ὡς αἱ τῶν ἐναντίων πράξεις ἄδικοι καὶ παράνομοι καὶ τῷ πλήθει τῶν πολιτῶν ἀσύμφοροι τυγχάνουσιν οὖσαι, ὅταν δὲ εἰς ἀβελτερίαν, ὡς αὐτῷ τε [καὶ] τῷ πράττοντι ἀσύμφοροι καὶ αἰσχραὶ καὶ ἀηδεῖς καὶ ἀδύνατοι ἐπιτελεσθῆναι. ταῦτα μὲν καὶ τὰ τούτοις ὅμοια κατά τε τῶν πονηρῶν καὶ τῶν ἀβελτέρων ἐπιχειρήματά ἐστιν. δεῖ δὲ καὶ τοῦτο παρατηρεῖν τοὺς κατηγοροῦντας, ἐπὶ ποίοις τῶν ἀδικημάτων οἱ νόμοι τὰς τιμωρίας τάττουσιν, καὶ περὶ ἃ τῶν ἀδικημάτων οἱ δικασταὶ τὰς ζημίας ὁρίζουσιν. ὅταν μὲν οὖν ᾖ νόμος διωρικώς, τοῦτο δεῖ μόνον σκοπεῖν τὸν κατήγορον, ὅπως ἐπιδείξῃ τὸ πρᾶγμα γεγενημένον. ὅταν δὲ οἱ δικασταὶ τὸ κατηγορούμενον εἰδῶσιν, αὐξητέον ἐστὶ τὰ ἀδικήματα καὶ τὰ τῶν ἐναντίων ἁμαρτήματα, καὶ μάλιστα μὲν δεικτέον, ὡς ἑκὼν καὶ ἐκ προνοίας οὐ τῆς τυχούσης, ἀλλὰ

---

1. *διέλθωμεν*] *διέλωμεν* libri. *κατηγορητικὸν* GM, *κατηγορηκον* E. 3. *συνέστησε* G, litteras *κε* in ras. habet E. 4. *κατηγορητικὸν* M. 5. *ἀδικημάτων καὶ ἁμαρτημάτων* CFMV: *ἁμαρτημάτων καὶ ἀδικημάτων* ceteri. 7. *καθυπτευθέντων* GprE. 8. *τὰς αὐτὰς*] *ταύτας* CFM. *ἔχοντος* CFM: *ἐχόντων* ceteri. 9. *κατηγορῶ* C. 12. *ἀβελτερίαν* Bekkerus: *ἀβελτηρίαν* mei omnes. *καὶ*] om. CDFMV, *καὶ* E. Fort. *αὐταὶ τῷ* vel *αὐτῷ τῷ*. 16. *οἱ νόμοι* om. M. 18. *νόμος*] Fort. *ὁ νόμος*. 19. *δεῖ*] *δὴ* B. *ὅπως*] *ὅπως ἂν* ABDEGV et corr. F. 20. *ὅτε δὲ* C. 21. *εἰδῶσιν*] *ἴσασιν* CDFMV et *γρ.* B, *εἰδῶσι ἴσασιν* A. Fort. *τιμῶσιν*. 22. Fort. *τοῦ ἐναντίου*. *ἁμαρτήματα*] mg. E, *ἀδικήματα* EG.

μετὰ παρασκευῆς πλείστης ἠδίκησεν· ἐὰν δὲ μὴ δυνατὸν ᾖ τοῦτο ποιεῖν, ἀλλὰ νομίζῃς δείξειν τὸν ἐναντίον, ὡς ἥμαρτε τρόπον τινά, ἢ ὅτι ταῦτα πρᾶξαι διανοηθεὶς καλῶς ἠτύχησε, περιαιρετέον τὴν συγγνώμην λέγοντα τοῖς ἀκούουσιν, ὡς οὐ δεῖ πράξαντας ἡμαρτηκέναι φάσκειν, ἀλλὰ πρὶν πράττειν εὐλαβεῖσθαι. ἔπειθ' ὡς εἰ καὶ ἐξήμαρτεν ἢ ἠτύχησεν ἐκεῖνος, δεῖ διὰ τὰς ἀτυχίας καὶ τὰς ἁμαρτίας ζημιωθῆναι μᾶλλον αὐτὸν ἢ τὸν μηδέτερον τούτων ποιήσαντα. πρὸς δὲ τούτοις καὶ ὁ νομοθέτης οὐκ ἀφῆκε τοὺς ἐξαμαρτάνοντας, ἀλλ' ὑποδίκους ἐποίησεν, ἵνα μὴ πάντες ἐξαμαρτάνωσιν. λέγε δὲ καὶ ὡς, εἰ τὸν τὰ τοιαῦτα ἀπολογούμενον ἀποδέξονται, πολλοὺς τοὺς ἀδικεῖν προαιρουμένους ἕξουσι· κατορθώσαντες μὲν γὰρ ἅπερ ἂν ἐθέλωσι πράξουσιν· ἀποτυχόντες δὲ φάσκοντες ἠτυχηκέναι τιμωρίαν οὐχ ὑφέξουσιν. τοῖς μὲν οὖν κατηγοροῦσιν ἐκ τῶν τοιούτων ἡ συγγνώμη περιαιρετέα καὶ, ὡς πρότερον εἴρηται, διὰ τῶν αὐξήσεων πολλῶν αἴτια κακῶν τὰ τῶν ἐναντίων ἔργα δεικτέον. τὸ μὲν οὖν κατηγορικὸν εἶδος διὰ τῶν μερῶν ἀποτελεῖται τούτων· τὸ δὲ ἀπολογητικὸν διὰ τριῶν μεθόδων συνίσταται [, πόθεν ἄν τις ἀπολογήσαιτο]· ἢ γὰρ ἀποδεικτέον τῷ ἀπολογουμένῳ ὡς οὐδὲν τῶν κατηγορουμένων ἔπραξεν· ἢ ἐὰν ἀναγκάζηται ὁμολογεῖν, πειρατέον δεικνύναι ἔννομον καὶ δίκαιον καὶ καλὸν καὶ συμφέρον τῇ

---

1. μεταπαρασκευῆς **E**. ᾖ **supra versum C**. 2. νομίζεις **EFM Aldus**. δείξειν **C**: δείξειν **F**, δεῖξαι **ceteri**. 3. ἢ ὅτι — συγγνώμην **om. M**. πρᾶξαι ταῦτα **V**. 5. ἁμαρτηκέναι **E**. 7. τὰς ἁμαρτίας] ἐξαμαρτίας **G**, τὰς **om. E**. 8. ἢ] καὶ **D**. 10. πάντες] πᾶσιν **CFM**. 11. ἐξαμαρτάνουσιν **EFG**. λέγε] λέγει **M**, λέγει **F**, λέγεται **C**, λέγω **G**. τὰ] **om. M**, τὸν **C**. 13. ἅπερ] **om. CM**, ἃ **E**. 18. ἀποδεικτέον **CFM**. κατηγορητικὸν **M**, κατηγορηκὸν **E**. 20. πόθεν — ἀπολογήσαιτο **om. CFM**.

πόλει τὸ πεπραγμένον· ἐὰν δὲ μὴ τοῦτο δύνηται ἀποδεῖξαι, εἰς ἁμάρτημα ἢ εἰς ἀτύχημα ἄγοντα τὰς πράξεις καὶ μικρὰς τὰς βλάβας ἀπ' αὐτῶν γενομένας ἀποφαίνοντα συγγνώμης τυχεῖν πειρατέον. ἀδικίαν δὲ καὶ ἁμάρτημα καὶ ἀτυχίαν ἂν διορίζῃς, τὸ μὲν ἐκ προνοίας κακόν τι ποιεῖν ἀδικίαν τίθει, καὶ φάθι δεῖν τιμωρίαν ἐπὶ τοῖς τοιούτοις τὴν μεγίστην λαμβάνειν. τὸ δὲ δι' ἄγνοιαν βλαβερόν τι πράττειν ἁμαρτίαν εἶναι φατέον. τὸ δὲ μὴ δι' ἑαυτὸν ἀλλὰ δι' ἑτέρους τινὰς ἢ διὰ τύχην μηδὲν ἐπιτελεῖν τῶν βουλευθέντων καλῶς ἀτυχίαν τίθει, καὶ φάθι τὸ μὲν ἀδικεῖν εἶναι τῶν πονηρῶν ἀνθρώπων ἴδιον, τὸ δ' ἐξαμαρτεῖν καὶ περὶ τὰς πράξεις ἀτυχεῖν οὐ μόνον εἶναι ἑαυτῷ ἴδιον, ἀλλὰ καὶ κοινὸν καὶ τῶν δικαζόντων καὶ τῶν ἄλλων ἀνθρώπων. ἀξίου δὲ συγγνώμην ἔχειν ἀναγκασθεὶς τι ὁμολογεῖν τῶν τοιούτων αἰτιῶν, κοινὸν τοῖς ἀκούουσι ποιῶν τὸ ἁμαρτάνειν καὶ τὸ ἀτυχεῖν. δεῖ δὲ τὸν ἀπολογούμενον πάντα θεωρεῖν, ἐφ' οἷς τῶν ἀδικημάτων οἵ τε νόμοι τὰς τιμωρίας ἔταξαν καὶ οἱ δικασταὶ ζημίας τιμῶσι· καὶ ὅταν ὁ νόμος ὁρίζῃ τὰς τιμωρίας, δεικτέον ὡς οὐκ ἐποίησε τὸ παράπαν, ἢ ὡς ἔννομα καὶ δίκαια ἐποίησεν· ὅτε δὲ οἱ δικασταὶ καθεστήκασι τιμηταὶ τῆς ζημίας, ὁμοίως πάλιν οὐ φατέον, ὅτι ταῦτα οὐκ ἐποίησεν, ἀλλὰ [μᾶλλον] μικρὰ βεβλαμμένον τὸν ἐναντίον καὶ ἀκούσια ἀποφαίνειν πειρατέον. ἐκ τούτων μὲν οὖν καὶ ἐκ τῶν τούτοις ὁμοιοτρόπων ἐν ταῖς κατηγορίαις καὶ [ἐν] ταῖς ἀπολογίαις εὐπο-

---

1. τὸ om. M. δυνήσεται M. 3. γεγενημένας CFM. ἀποφαίνονται M. 5. ἂν διορίζῃς] ὧδε ὁρίζοις DF, ὧδε ὁρίζεις CM, ὧδε ὁρίζοι εις V, ὧδε ὁρίζῃς Victorii codex. Fort. ὧδε διόριζε. μὲν] μὲν οὖν C. 6. ἀδικίας CDMV. 9. ἑτέρας DV. 17. πάντα] πᾶσι CFM. τε om. E. 18. ἔταξαν FM: ἔπαξαν C, ἐπάξουσι ceteri. 19. ὁρίζηται G. 21. τιμητικοὶ D. 22. ταύτην DV. οὐκ] om. prA, μᾶλλον οὐκ V. μᾶλλον om. BCDFMVprA. 23. βεβλαμένον E, βεβλαμμένα M. 24. ἐκ τῶν] ἐκ om. ABEG Bekkerus. 25. ἐν om. ABDEGV Bekkerus.

ῥήσομεν· λείπεται δ' ἡμῖν ἔτι διεξελθεῖν τὸ ἐξεταστικὸν εἶδος.

Ἐν κεφαλαίῳ μὲν οὖν εἰπεῖν, ἡ ἐξέτασίς ἐστι προαιρέσεων ἢ πράξεων ἢ λόγων πρὸς ἄλληλα ἢ πρὸς τὸν ἄλλον βίον ἐναντιουμένων ἐμφάνισις. δεῖ δὲ τὸν ἐξετάζοντα ζητεῖν, εἴ που ἢ ὁ λόγος ὃν ἐξετάζει ἢ αἱ πράξεις τοῦ ἐξεταζομένου ἢ αἱ προαιρέσεις ἐναντιοῦνται ἀλλήλαις. ἡ δὲ μέθοδος ἥδε· σκοπεῖν ἐν τῷ παροιχομένῳ χρόνῳ, εἴ τῳ πρῶτόν τις φίλος γενόμενος πάλιν ἐχθρὸς ἐγένετο, καὶ πάλιν φίλος τῷ αὐτῷ τούτῳ, ἤ τι ἄλλο ἐναντίον εἰς μοχθηρίαν φέρον ἔπραξεν, ἢ εἴ τι πράξειεν εἰ καιροὶ παραπέσοιεν αὐτῷ, ἐναντίον τοῖς πρότερον ὑπ' αὐτοῦ πεπραγμένοις. ὡσαύτως δὲ ὅρα καὶ εἴ τι εἰπὼν νῦν λέγει ἐναντίον τοῖς πρότερον αὐτῷ εἰρημένοις, ἢ εἴ τι εἴποι ἐναντίον τοῖς λεγομένοις ἢ τοῖς πρότερον εἰρημένοις. ὡσαύτως δὲ καὶ εἴ τι προείλετο ἐναντίον τοῖς πρότερον ὑπ' αὐτοῦ προῃρημένοις, ἢ προέλοιτ' ἂν καιρῶν παραπεσόντων. ὁμοιοτρόπως δὲ τούτοις λαμβάνειν καὶ πρὸς τὰ ἄλλα ἔνδοξα ἐπιτηδεύματα τὰς ἐν τῷ τοῦ ἐξεταζομένου βίῳ ἐναντιώσεις. τὸ μὲν οὖν ἐξεταστικὸν εἶδος οὕτω μετιὼν οὐδένα παραλείψεις τρόπον τῆς ἐξετάσεως.

Ἁπάντων δὲ τῶν εἰδῶν ἤδη διῃρημένων δεῖ καὶ χωρὶς τούτων ἑκάστῳ ὅταν ἁρμόττῃ χρῆσθαι καὶ κοινῇ, συμμι-

---

1. ἐξελθεῖν **M**. 2. εἶδος] εἶναι **E**. 5. ἐναντιούμενον **M**. 6. τῶν ἐξεταζομένων **M**. 7. ἀλλήλοις **B**. 8. παρωχημένῳ **ABDEF**. τῳ **CM**: πῶς **ABDEF**. 9. πρῶτον] **Fort.** πρότερον. τις **CDM**: om. **F**, τινος ceteri. 10. εἰς] ἢ εἰς **CDFMV**. 11. φέρων **Aldus**. εἴ τι] ἔτι **libri**. πράξειεν] πράξοι **M**, πράξει ceteri. εἰ **CF**: ἐὰν οἱ ceteri. παραπέσοιεν **F**: περιπέσειεν **M**, περιπέσοιεν ceteri. 12. ἐναντίοι **DV**. 13. λέγοι **DE**. 14. τοῖς πρότερον — ἐναντίον om. **prF**. εἴποιεν **M**, εἶπεν **mg. F**. 16. προείλετο] πάλιν προείλετο **Aldus**. προῃρημένοις] εἰρημένοις **libri**. **Post hoc verbum ponunt** ὑπ' αὐτοῦ **ABDEGV**. 17. ἢ προέλοιτ' ἂν] **Fort.** ἢ εἴ τι προέλοιτο. 18. δὲ **CFM**: om. ceteri. 23. μιγνύντα **EG**.

γνύντα τὰς δυνάμεις αὐτῶν. ταῦτα γὰρ ἔχει μὲν διαφορὰς εὐμεγέθεις, ἐπικοινωνοῦσι μέντοι κατὰ τὰς χρήσεις ἀλλήλοις, καὶ ταὐτὸ πεπόνθασι τοῖς τῶν ἀνθρώπων εἴδεσι· καὶ γὰρ οὗτοι τῇ μὲν ὅμοιοι τῇ δὲ ἀνόμοιοι τὰς ὄψεις καὶ τὰς αἰσθήσεις εἰσίν. οὕτω δὲ τῶν εἰδῶν διωρισμένων, καὶ ὧν προσδέονται κοινῇ πάλιν ἐξαριθμήσωμεν, καὶ διεξέλθωμεν ὡς αὐτοῖς δεῖ χρῆσθαι.

6 Πρῶτον μὲν οὖν καὶ τὸ δίκαιον καὶ τὸ νόμιμον καὶ τὸ συμφέρον καὶ τὸ καλὸν καὶ τὸ ἡδὺ καὶ τὰ τούτοις ἀκόλουθα, καθάπερ ἐν ἀρχῇ διειλόμην, κοινὰ πᾶσι τοῖς εἴδεσίν ἐστι, μάλιστα δ' αὐτοῖς τὸ προτρεπτικὸν προσχρῆται. δεύτερον δὲ τὰς αὐξήσεις καὶ ταπεινώσεις χρησίμους ἀναγκαῖον εἶναι παρὰ [τὰ λοιπὰ] πάντα, μάλιστα δ' αὐτῶν ἐν τῷ ἐγκωμίῳ καὶ τοῖς ψόγοις αἱ χρήσεις. τρίτον δὲ πίστεις, αἷς ἀνάγκη μὲν πρὸς πάντα τὰ μέρη τῶν λόγων χρῆσθαι, χρησιμώταται δέ εἰσιν ἐν ταῖς κατηγορίαις καὶ ταῖς ἀπολογίαις· ταῦτα γὰρ πλείστης ἀντιλογίας δέονται. πρὸς δὲ τούτοις προκαταλήψεις καὶ αἰτήματα καὶ παλιλλογίαι καὶ ἀστειολογίαι καὶ μῆκος λόγου καὶ μετριότης μήκους καὶ βραχυλογία καὶ ἑρμηνεία· ταῦτα γὰρ καὶ τὰ τούτοις ὅμοια κοινὰς ἔχει πᾶσι τοῖς εἴδεσι τὰς χρήσεις.

Περὶ μὲν οὖν τῶν δικαίων καὶ τῶν νομίμων καὶ τῶν τούτοις ὁμοιοτρόπων πρότερον διωρισάμην καὶ τὴν χρῆσιν αὐτῶν διεξῆλθον, καὶ περὶ μὲν τῶν αὐξήσεων καὶ ταπει-

---

1. *δυνάμεις*] *δόσεις* **M**. *μὲν γὰρ ἔχει* **CFM**. 4. *τῇ .. τῇ*] *τί .. τί* **DV**, *τῇ .. τῇ* **E**, *τὸ .. τὸ* **G**. 6. *διέλθωμεν* **CFM**. 8. *οὖν καὶ*] *οὖν* om. **B**, *καὶ* om. **EG**. 10. *τοῖς* om. **DV**. 11. *προτρεπτικὸν*] *προτρέπειν* **ABEGV**. adde *καὶ ἀποτρεπτικὸν*. *προσχρῆσθαι* **M**. **Camotius**. 13. *τὰ λοιπὰ*] om. **prA**. *πάντα λοιπὰ* **D**, *πάντα λοιπὸν* **V**, *πάντα τὰ λοιπὰ* **CFM**, *πάντα τὸν λόγον γρ.AB*. 14. **Fort**. *τοῖς ἐγκωμίοις*. 15. *μὲν* om. **FM**. *μέρη*] **Fort**. *μέρη καὶ εἴδη*. *χρῆσθαι τῶν λόγων* **M**. 17. *ταῦτα*] **Fort**. *αὗται*. *πλείσταις ἀντιλογίαις* **CM**. 18. *παλλιλογίαι* **F**. 19. *καὶ ἀστειολογίαι* om. **libri**.

νώσεων εἶπον· νῦν δὲ περὶ τῶν ἄλλων δηλώσω πρῶτον 7
ἀπὸ τῶν πίστεων ἀρξάμενος. εἰσὶ δὲ δύο τρόποι τῶν πί-
στεων· γίνονται γὰρ αἱ μὲν ἐξ αὐτῶν τῶν λόγων καὶ τῶν
πράξεων καὶ τῶν ἀνθρώπων, αἱ δ' ἐπίθετοι τοῖς λεγομέ-
νοις καὶ τοῖς πραττομένοις. τὰ μὲν γὰρ εἰκότα καὶ παρα- 5
δείγματα καὶ τεκμήρια καὶ ἐνθυμήματα καὶ αἱ γνῶμαι καὶ
τὰ σημεῖα καὶ οἱ ἔλεγχοι πίστεις ἐξ αὐτῶν τῶν λόγων καὶ
τῶν ἀνθρώπων καὶ τῶν πραγμάτων εἰσίν, ἐπίθετοι δὲ δόξα
τοῦ λέγοντος μαρτυρίαι βάσανοι ὅρκοι. δεῖ δὲ τούτων
ἑκάστην αὐτήν τε συνιέναι ποία τίς ἐστι, καὶ πόθεν τῶν 10
εἰς αὐτὴν λόγων εὐπορήσομεν, καὶ τί ἀλλήλων διαφέ-
ρουσιν.

Εἰκὸς μὲν οὖν ἐστιν οὗ λεγομένου παραδείγματα ἐν
ταῖς διανοίαις ἔχουσιν οἱ ἀκούοντες, λέγω δ' οἷον εἴ τις
φαίη τὴν πατρίδα βούλεσθαι μεγάλην εἶναι καὶ τοὺς οἰκεί- 15
ους εὖ πράττειν καὶ τοὺς ἐχθροὺς ἀτυχεῖν καὶ τὰ τούτοις
ὅμοια, συλλήβδην εἰκότα δόξειεν ἄν. ἕκαστος γὰρ τῶν
ἀκουόντων σύνοιδεν αὐτὸς αὑτῷ περὶ τούτων καὶ τῶν τού-
τοις ὁμοιοτρόπων ἔχοντι τοιαύτας ἐπιθυμίας. ὥστε τοῦτο
δεῖ παρατηρεῖν ἡμᾶς ἐν τοῖς λόγοις ἀεί, εἰ τοὺς ἀκούοντας 20
συνειδότας ληψόμεθα περὶ τοῦ πράγματος οὗ λέγομεν·
τούτοις γὰρ αὐτοὺς εἰκός ἐστι μάλιστα πιστεύειν. τὸ μὲν
οὖν εἰκὸς τοιαύτην ἔχει φύσιν, διαιροῦμεν δὲ αὐτὸ εἰς
τρεῖς ἰδέας. μία μὲν οὖν ἐστι τὸ τὰ πάθη τὰ κατὰ φύσιν
ἀκολουθοῦντα τοῖς ἀνθρώποις τοῖς λόγοις συμπαραλαμβά- 25
νειν ἐν τῷ κατηγορεῖν ἢ ἀπολογεῖσθαι, οἷον ἐὰν τύχωσί

---

2. τῶν post τρόποι om. CFM. 3. γὰρ] δὲ B. 4. καὶ post πρά-
ξεων fort. delendum. 6. αἱ] om. libri. 7. πίστεις] καὶ πίστεις
DFMV. καὶ post λόγων fort. delendum. 8. δόξα τοῦ λέγοντος om.
libri. 9. μάρτυρες CDFMV. βάσανοι ὅρκοι] ὅρκοι καὶ βάσανοι DF,
ὅρκοι βάσανοι ceteri. δὲ] δὴ C. 10. ἑκάστων V. 16. εὐτυχεῖν prE.
17. δόξειεν ἄν] δόξειαν M, δόξειεν ceteri. 19. ἔχοντα M. 22. εἰκὸς
αὐτοὺς EM, αὐτοῖς εἰκός BGV. 24. κατὰ τὴν φύσιν V.

τινες καταφρονήσαντές τινος ἢ δείσαντες, ἢ καὶ αὐτὸ τοῦτο τὸ πρᾶγμα πολλάκις πεποιηκότες, ἢ πάλιν ἡσθέντες ἢ λυπηθέντες, ἢ ἐπιθυμήσαντες ἢ πεπαυμένοι τῆς ἐπιθυμίας, ἤ τι τοιοῦτον ἕτερον πεπονθότες πάθος ταῖς ψυχαῖς ἢ τοῖς σώμασιν ἤ τινι τῶν ἄλλων αἰσθήσεων οἷς συμπάσχομεν· ταῦτα γὰρ καὶ τὰ τούτοις ὅμοια κοινὰ τῆς ἀνθρωπείας φύσεως ὄντα πάθη γνώριμα τοῖς ἀκούουσίν ἐστιν. τὰ μὲν οὖν κατὰ φύσιν τοῖς ἀνθρώποις εἰθισμένα γίνεσθαι τοιαῦτά ἐστιν, ἃ φαμεν δεῖν συμπαραλαμβάνειν ἐν τοῖς λόγοις. ἕτερον δὲ μέρος ἐστὶ τῶν εἰκότων ἔθος, ὃ κατὰ συνήθειαν ἕκαστοι ποιοῦμεν· τρίτον δὲ κέρδος· πολλάκις γὰρ διὰ τοῦτο τὴν φύσιν βιασάμενοι καὶ τὰ ἤθη προειλόμεθα πράττειν. οὕτω δὲ τούτων διωρισμένων ἐν μὲν ταῖς προτροπαῖς καὶ ταῖς ἀποτροπαῖς δεικτέον ὑπὲρ τῶν ζητουμένων, ὅτι τοῦτο τὸ πρᾶγμα ἐφ' ὃ ἡμεῖς παρακαλοῦμεν ἢ ᾧ ἀντιλέγομεν, οὕτως ὡς ἡμεῖς φαμεν γίνεται· εἰ δὲ μή, ὅτι τὰ τούτῳ τῷ πράγματι ὅμοια τοῦτον τὸν τρόπον γίνεται ὃν ἡμεῖς φαμεν, ἢ τὰ πλεῖστα ἢ τὰ πάντα. κατὰ μὲν οὖν τῶν πραγμάτων οὕτω τὸ εἰκὸς ληπτέον, κατὰ δὲ τῶν ἀνθρώπων ἐν μὲν ταῖς κατηγορίαις, ἐὰν ἔχῃς, ἐπιδείκνυε τὸ αὐτὸ τοῦτο πρᾶγμα πολλάκις πεποιηκότα πρότερον· εἰ δὲ μή, ὅμοια τούτῳ. πειρῶ δὲ ἀποφαίνειν καὶ ὡς λυσιτελὲς ἦν αὐτῷ ταῦτα ποιεῖν· οἱ γὰρ πλεῖστοι τῶν ἀνθρώπων αὐτοὶ τὸ λυσιτελὲς μάλιστα προτιμῶντες καὶ τοὺς ἄλλους νομίζουσιν ἕνεκα τούτου πάντα πράττειν. ἂν

---

1. *τινος* **nostri omnes**: *τινα* **editi cum Bekkero (BV?)**. 3. *ἐπιθυμήσαντες* **M**: *ἐπιθυμοῦντες* **ceteri**. *τῆς ἐπιθυμίας* **M**: *τῶν ἐπιθυμιῶν* **ceteri**. 4. *ἤ τι*] *ἢ πλουτοῦντες ἤ τι* **CFM**. 7. *ὄντα φύσεως* **AEG**. 8. *ἀνθρωπίνοις* **EFMV**. *εἰθισμένα* **ante** *τοῖς* **ABEG**. 12. *τούτου τὴν* **ABD**, *τοῦ τὴν* **prE**, *τούτην* **G**. 14. *μὲν* **om. M**. 15. *ὃ*] *ὧ* **G**, *ὧν* **prE**. 16. *οὕτως*] *αὐτὸ* **ABDEGV Bekkerus**. 17. *τῷ πράγματι*] *πράγματα* **Victorii codex**. 21. *τὸ αὐτὸ τοῦτο*] **Fort.** *τὸν αὐτὸν τοῦτο τὸ*. 24. *ἀνθρώπων* **om. prA**. *αὐτοὶ* **Buhle**: *αὐτὸ* **libri**. *τιμῶντες* **EG**. 25. *ἕνεκεν* **M**.

μὲν οὖν ἔχῃς ἀπὸ τῶν ἀντιδίκων αὐτῶν τὸ εἰκὸς λαμβάνειν, οὕτως αὐτὸ συνάγαγε· εἰ δὲ μή, ἀπὸ τῶν ὁμοίων τὰ εἰθισμένα φέρε. λέγω δ' οἷον νέος ἐστὶν οὗ κατηγορεῖς, ἃ οἱ περὶ τὴν ἡλικίαν ταύτην ὄντες πράττουσι, ταῦτα λέγε πεποιηκέναι αὐτόν· πιστευθήσεται γὰρ κατὰ τὴν ὁμοιότητα καὶ [τὰ] κατὰ τούτου λεγόμενα. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐὰν τοὺς ἑταίρους αὐτοῦ δεικνύῃς τοιούτους ὄντας οἷον σὺ τοῦτον φῄς· καὶ γὰρ διὰ τὴν πρὸς ἐκείνους συνήθειαν δόξει τὰ αὐτὰ τοῖς φίλοις ἐπιτηδεύειν. τοὺς μὲν οὖν κατηγοροῦντας οὕτω χρὴ μετιέναι τὸ εἰκός· τοῖς δὲ ἀπολογουμένοις μάλιστα δεικτέον, ὡς οὐδεπώποτε τῶν κατηγορουμένων τι πρότερον οὔτε αὐτοὶ οὔτε τῶν φίλων οὐδεὶς οὔτε τῶν ὁμοίων αὐτοῖς ἔπραξέ τις, οὐδ' ἐλυσιτέλησε τοιαῦτα πράττειν. ἂν δὲ φανερὸς ᾖς ταὐτὸ τοῦτο πρότερον πεποιηκώς, αἰτιατέον τὴν ἡλικίαν ἢ τινα πρόφασιν ἄλλην [τοιαύτην] οἰστέον, δι' ἣν εἰκότως ἐξήμαρτες τότε. λέγε δὲ καὶ ὡς οὔτε ταῦτα τότε σοι πράξαντι συνήνεγκεν οὔτε νῦν ἐλυσιτέλησεν ἄν. ἂν δέ σοι μηδὲν ᾖ πεπραγμένον τοιοῦτον, τῶν δὲ φίλων σού τινες τυγχάνωσι τοιαῦτα πεποιηκότες, χρὴ λέγειν ὡς οὐ δίκαιόν ἐστι δι' ἐκείνους σαυτὸν διαβάλλεσθαι, καὶ δεικνύναι τῶν σαυτῷ συνήθων ἑτέρους ἐπιεικεῖς ὄντας· οὕτω γὰρ ἀμφίβολον ποιήσεις τὸ κατηγορούμενον. ἂν δὲ τῶν ὁμοίων δεικνύωσί τινας ταυτὰ πεποιηκότας, ἄτοπον εἶναι φάσκε, εἰ, διότι ἕτεροί τινες ἐξα-

---

2. *συνάγεται* M. 3. *ἃ οἱ* CFM: *εἰ οἷα* ceteri. 4. *λέγε* CFM: *λέγοις* D, *λέγεις* ceteri. 6. *τὰ* om. M. *καὶ* om. D. 7. *ἐὰν* CFM: *ἐάν τις* ceteri. *δεικνύῃς* CFM: *δεικνύῃ* ceteri. 8. *φῄς* om. CFM. 9. *δόξῃ* M. 11. *οὐδέποτε* ABEG. 14. *πράττειν* Camotius: *πράττων* libri. *ᾖς ταὐτὸ*] *ᾖ αὐτὸ* EG. 16. *τοιαύτην* om. ABDEG. *λέγω* G. 17. *ταῦτα*] *ταύτην* BGprE. *σοι τότε* EG. 18. *ᾖ* E. *πεπραγμένων* D. *τοιοῦτον*] *τοιοῦτο* ABEG, *τοιοῦτόν τι* Aldus, *τῶν τοιούτων* Basil. 19. *τυγχάνουσι* F. 20. *σαυτὸν* D: *αὐτῶν* M, *αὐτὸν* ceteri. 21. *διαβάλεσθαι* C. *σαυτῷ*] *αὐτῷ* ABCF, *αὐτῶν* EGM. 23. *ταῦτα* BDEG, *τὰ αὐτὰ* CFM. 24. *εἰ*] Fort. delendum.

μαρτάνοντες φαίνονται, πίστιν εἶναι ὅτι τῶν ἐγκαλουμένων τι καὶ σὺ πεποίηκας. ἂν μὲν οὖν ἔξαρνος ᾖς μὴ πεποιηκέναι τὴν κατηγορουμένην πρᾶξιν, οὕτως ἐκ τῶν εἰκότων χρή σε ἀπολογεῖσθαι· ἀπίθανον γὰρ ποιήσεις τὴν κατηγορίαν. ἂν δὲ ὁμολογεῖν ἀναγκάζῃ, τοῖς τῶν πολλῶν ἤθεσιν ἀφομοίου τὰς σαυτοῦ πράξεις ὅτι μάλιστα λέγων ὡς οἱ πλεῖστοι καὶ οἱ πάντες τοῦτο καὶ τὰ τοιαῦτα πράττουσιν οὕτως, ὥς σοι τυγχάνει πεποιημένον. ἂν δὲ μὴ δυνατὸν ᾖ τοῦτο δεῖξαι, καταφευκτέον ἐπὶ τὰς ἀτυχίας ἢ τὰς ἁμαρτίας, καὶ συγγνώμης πειρατέον τυγχάνειν παραλαμβάνοντα τὰ κοινὰ τῶν ἀνθρώπων γινόμενα πάθη, δι' ὧν ἐξιστάμεθα τοῦ λογισμοῦ, ταῦτα δ' ἐστὶν ἔρως ὀργὴ μέθη φιλοτιμία καὶ τὰ τούτοις ὁμοιότροπα. τὸ μὲν οὖν εἰκὸς διὰ ταύτης τῆς μεθόδου τεχνικώτατα μέτιμεν.

8 *Παραδείγματα δ' ἐστὶ πράξεις ὅμοιαι γεγενημέναι καὶ ἐναντίαι τοῖς νῦν ὑφ' ἡμῶν λεγομένοις. τότε δὲ χρηστέον αὐτοῖς ἐστιν, ὅτε ἄπιστον ὂν τὸ ὑπό σου λεγόμενον εἶναι φανερὸν ποιῆσαι θέλεις, ἐὰν διὰ τοῦ εἰκότος μὴ πιστεύηται, ὅπως πρᾶξιν ὁμοίαν ἑτέραν τῇ ὑπό σου λεγομένῃ καταμαθόντες οὕτω πεπραγμένην, ὡς σὺ φῂς πεπρᾶχθαι, μᾶλλον πιστεύσωσι τοῖς ὑπό σου λεγομένοις. εἰσὶ δὲ τῶν παραδειγμάτων δύο τρόποι· τὰ μὲν γὰρ τῶν παραδειγμάτων γίνεται κατὰ λόγον τὰ δὲ παρὰ λόγον. ποιεῖ δὲ τὰ μὲν κατὰ λόγον γινόμενα πιστεύεσθαι, τὰ δὲ μὴ κατὰ λόγον ἀπιστεῖσθαι· λέγω δ' οἷον εἴ τις φάσκοι τοὺς πλου-*

---

2. ᾖ ABCEG. 5. ἀναγκάζει M. ἔθεσιν C, ἔθνσιν M. 10. περιλαμβάνοντα DFMV. 12. ἐστὶν ἔρως] ἐστὶ καιρὸς DV. 15. παράδειγμα ABDEGV. 16. τοῖς CM: ταῖς ceteri. λεγομένοις CM: λεγομέναις ceteri. 17. αὐτοῖς] αὐταῖς libri. ἐστιν om. B. ὅταν CFM. εἶναι] abundat. 18. θέλεις Veneta: λέγης DF, λέγεις ceteri. ἐὰν CFM: ἔστ' ἂν ceteri. διὰ] δὲ διὰ C. 19. ἑτέραν postrema litt. corr. E. 20. καταμανθάνοντες DV. πεπρᾶχθαι CFM: γεγενῆσθαι ceteri. 22. παραδειγμάτων E: πραγμάτων ceteri. 23. γίνονται DV. 25. φάσκοι DG: φάσκει ceteri.

σίους δικαιοτέρους εἶναι τῶν πενομένων καὶ φέροι τινὰς πράξεις πλουσίων ἀνδρῶν δικαίας. τὰ μὲν οὖν τοιαῦτα τῶν παραδειγμάτων κατὰ λόγον εἶναι δοκεῖ· τοὺς γαρ πλείστους ἔστιν ἰδεῖν νομίζοντας τοὺς πλουτοῦντας δικαιοτέρους εἶναι τῶν πενομένων. εἰ δέ τις πάλιν ἀποφαίνοι τινὰς τῶν πλουσίων ἐπὶ χρήμασιν ἀδικήσαντας, τῷ παρὰ τὸ εἰκὸς γεγενημένῳ παραδείγματι χρώμενος ἀπίστους ἂν ποιοῖ τοὺς πλουτοῦντας. ὡσαύτως δὲ καὶ εἴ τις φέροι παράδειγμα τῶν κατὰ λόγον εἶναι δοκούντων, διότι Λακεδαιμόνιοί ποτε ἢ Ἀθηναῖοι πολλῷ πλήθει χρώμενοι συμμάχων κατεπολέμησαν τοὺς ἐναντίους, καὶ προτρέποι τοὺς ἀκούοντας πολλοὺς συμμάχους ποιεῖσθαι· [τὰ μὲν οὖν τοιαῦτα παραδείγματα κατὰ λόγον ἐστίν·] ἅπαντες γὰρ νομίζουσιν ἐν τοῖς πολέμοις [τὸ πλῆθος] οὐ μικρὰν ῥοπὴν ἔχειν πρὸς τὴν νίκην. εἰ δέ τις ἀποφαίνειν ἐθέλοι μὴ τοῦτ' αἴτιον τοῦ νικᾶν, τοῖς παρὰ τὸ εἰκὸς γεγενημένοις πράγμασι χρήσαιτ' ἂν παραδείγμασι λέγων, ὡς οἱ μὲν Ἀθήνησι φυγάδες τὸ πρῶτον μετὰ πεντήκοντα ἀνδρῶν Φυλήν τε καταλαβόντες καὶ πρὸς τοὺς ἐν ἄστει πολλῷ πλείους ὄντας καὶ συμμάχοις Λακεδαιμονίοις χρωμένους πολεμήσαντες κατῆλθον εἰς τὴν ἰδίαν πόλιν· Θηβαῖοι δὲ Λακεδαιμονίων καὶ σχεδὸν ἁπάντων Πελοποννησίων εἰς τὴν Βοιωτίαν ἐμβαλόντων μόνοι περὶ τὰ Λεῦκτρα παρα-

---

1. *φέροι* EG: *φέρει* ceteri. 2. *πλουσίων*] *δικαίων* M. 4. *ἔστιν*] addidit Basil., om. libri. *ἰδεῖν*] *δεῖ* G et prE, cui *ι* ante *δ* insertum. 5. *εἶναι δικαιοτέρους* Aldus. *ἀποφαίνει* Aldus et Bekkerus (ex BV?). 7. *γενομένῳ* CFM. 8. *ποιοῖ* Bekkerus: *ποιοῖτο* libri. *φέρει* AF. 9. *παραδείγματα* B. 11. *τοῖς ἐναντίοις* M. *προτρέπει* ABCFM, *ἀποτρέποι* D. 12. *ποιῆσαι* E, suprascr. ϑ al. m. *οὖν* CFM: *δὴ* ceteri. *τὰ μὲν . . . ἐστίν* fort. delenda. 14. *τὸ πλῆθος* om. CMprF. *μικρὰν* CFM: *μετρίαν* ceteri. 15. *ἐθέλει* B. 16. *γενομένοις* AEG. 19. *φυλακήν* GprE. *τε* om. V. 23. *ἐμβαλόντων* ABCV: *ἐμβαλλόντων* DF et corr. E, *ἐμβαλόντες* G, *ἐμβάλλοντες* prE. *μόνοι*] *οὗτοι μόνοι* F. *παρὰ* EG.

ταξάμενοι τὴν Λακεδαιμονίων δύναμιν ἐνίκησαν· Δίων δὲ ὁ Συρακούσιος μετὰ τρισχιλίων ὁπλιτῶν εἰς Συρακούσας πλεύσας Διονύσιον πολλαπλασίονα ἔχοντα δύναμιν κατεπολέμησεν· ὡσαύτως δὲ Κορίνθιοι Συρακουσίοις ἐννέα τριήρεσι βοηθήσαντες Καρχηδονίους ἑκατὸν καὶ πεντήκοντα ναυσὶν ἐπὶ τοῖς λιμέσι τῶν Συρακουσίων ἐφορμοῦντας, τὴν δὲ πόλιν ἅπασαν πλὴν τῆς ἀκροπόλεως ἔχοντας, οὐδὲν ἧττον κατεπολέμησαν. συλλήβδην δὲ ταῦτα καὶ τὰ τούτοις ὅμοια παρὰ λόγον πραχθέντα τὰς κατὰ τὸ εἰκὸς γινομένας συμβουλὰς ἀπίστους ποιεῖν εἴωθεν. τῶν μὲν οὖν παραδειγμάτων τοιαύτη τις ἡ φύσις ἐστί· χρηστέον δ' αὐτῶν ἑκατέρῳ τρόπῳ, ὅταν μὲν ἡμεῖς λέγωμεν τὰ κατὰ λόγον γινόμενα, δεικνύντας ὡς ἐπὶ τὸ πολὺ τοῦτον τὸν τρόπον ἐπιτελουμένας τὰς πράξεις· ὅταν δὲ τὰ παρὰ λόγον γινόμενα, φέροντας ὅσα παρὰ λόγον δοκοῦντα γενέσθαι τῶν πραγμάτων εὐλόγως ἀποβέβηκεν. ὅταν δ' οἱ ἐναντίοι λέγωσι τοῦτο, χρὴ δεικνύειν ὡς εὐτυχήματα ταῦτα συνέβη, καὶ λέγειν ὅτι αἱ τοιαῦται πράξεις ἐν τῷ σπανίῳ γεγόνασιν· οἵας δὲ σὺ λέγεις, πολλάκις. τοῖς μὲν οὖν παραδείγμασιν οὕτω χρηστέον. ὅταν γε μὴν τὰ παρὰ λόγον γινόμενα φέρωμεν, χρὴ συνάγειν αὐτῶν ὅτι πλεῖστα καὶ καταλέγειν, ὡς οὐδὲν μᾶλλον ἐκεῖνα τούτων εἴωθε γίνεσθαι. δεῖ δὲ χρῆσθαι τοῖς παραδείγμασι οὐ μόνον ἐκ τούτων, ἀλλὰ καὶ ἐκ τῶν ἐναντίων· λέγω δ' οἷον ἐὰν ἀποφαίνῃς τινὰς πλεονεκτικῶς τοῖς συμμάχοις χρωμένους καὶ διὰ

---

1. *Δίων — κατεπολέμησεν* om. EG. 2. *συρρακούσιος* DMV, et sic ubique. 3. *πολλαπλασίονα* CFM: *πολλαπλάσιον* ceteri. *δύναμιν ἔχοντα* B Aldus. 5. *ἑκατὸν*] *δὲ ἑκατὸν* BDEGV, *ἑκατὸν μὲν* FM. 6. *τῶν*] *τοῦ* Bekkeri edit. operarum vitio. *ἐφορμοῦντας* corr. E et Bekkerus: *ἐφορμώντων* C, *ἐφορμῶντας* ceteri. 13. *λόγον*] *τὸν λόγον* M. *δεικνύντες* DV. 14. *τὰ* om. M. 15. *φέροντες* V. 17. *ἀτυχήματα* ABDEFGV. 19. *δὲ*] *δὴ* D. 20. *τὰ* om. G. 21. *συνάγοντα* DV. *καὶ* om. DV. 23. *τὰ παραδείγματα* CFM. *οὐ* CFM: om. B, *μὴ* ceteri. 24. *ἀποφαίνῃ* V, *ἀποφαίνεις* M. 25. *καὶ διαλυθεῖσαν* ABCMprF.

τοῦτο λυθεῖσαν αὐτῶν τὴν φιλίαν, καὶ λέγῃς· ἡμεῖς δὲ, ἂν ἴσως καὶ κοινῶς πρὸς αὐτοὺς προσφερώμεθα, πολὺν χρόνον τὴν συμμαχίαν φυλάξομεν. καὶ πάλιν, ἄν τινας ἑτέρους ἀπαρασκευάστως πολεμήσαντας καὶ διὰ τοῦτο καταπολεμηθέντας ἀποφαίνῃς, εἶτα λέγῃς· ἂν παρασκευασάμενοι πολεμῶμεν, βελτίους ἂν περὶ τῆς νίκης τὰς ἐλπίδας ἔχοιμεν. πολλὰ δὲ λήψῃ παραδείγματα διὰ τῶν προγεγενημένων πράξεων καὶ διὰ τῶν νῦν γινομένων· τὰ γὰρ πλεῖστα τῶν ἔργων τῇ μὲν ὅμοια τῇ δὲ ἀνόμοια ἀλλήλοις ἐστίν. ὥστε διὰ τὴν αἰτίαν ταύτην καὶ παραδειγμάτων εὐπορήσομεν καὶ τοῖς ὑπὸ τῶν ἄλλων λεγομένοις οὐ χαλεπῶς ἀντεροῦμεν. τῶν μὲν οὖν παραδειγμάτων τούς τε τρόπους ἴσμεν, καὶ ὡς αὐτοῖς χρησόμεθα, καὶ ὅθεν πολλὰ ληψόμεθα.

Τεκμήρια δέ ἐστιν ὅσ' ἂν ἐναντίως ᾖ πεπραγμένα τῷ περὶ οὗ ὁ λόγος, καὶ ὅσα ὁ λόγος αὐτὸς ἑαυτῷ ἐναντιοῦται· τῶν γὰρ ἀκουόντων οἱ πλεῖστοι τοῖς συμβαίνουσι περὶ τὸν λόγον ἢ τὴν πρᾶξιν ἐναντιώμασι τεκμαίρονται μηδὲν ὑγιὲς εἶναι μήτε τῶν λεγομένων μήτε τῶν πραττομένων. πολλὰ δὲ λήψῃ τεκμήρια σκοπῶν εἴτε ὁ λόγος τοῦ ἐναντίου αὐτὸς αὑτῷ [τῷ πράγματι] ἐναντιοῦται, εἴτε ἡ πρᾶξις αὐτὴ ἐναντία τῷ λόγῳ ἐστίν. τὰ μὲν οὖν τεκμήρια τοιαῦτά ἐστι, καὶ οὕτως αὐτὰ πλεῖστα ποιήσεις. 9

Ἐνθυμήματα δέ ἐστιν οὐ μόνον τὰ τῷ λόγῳ καὶ τῇ πράξει ἐναντιούμενα, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι· λήψῃ δὲ πολλὰ μετιὼν ὡς ἐν τῷ ἐξεταστικῷ εἴδει εἴρηται, καὶ 10

---

1. λέγῃς om. ABDEFGV. ἡμῖν C. 2. πρὸς αὐτοὺς om. EG. προσφερόμεθα CFM. οὐ πολὺν Bas. 4. ἀπαρασκευάστους M. καταπολεμηθέντας] καταλυθέντας CFM. 5. ἀποφήνῃς EG. λέγεις F. 8. νῦν om. ABDEGV. 9. τὶ — τὶ DV. 12. τε om. ABEG. 13. χρησαίμεθα DM. 15. ὅσ' ἂν F: ὃς ἂν C, ὅσα DV, ὅθεν E, ὅσα ἂν ceteri. τῷ] τοῖς CF. 16. οὗ] ᾧ M, ὧν CF. αὐτὸς om. B. 20. εἴτις ὁ C. 21. τῷ πράγματι inclusit Buhle.

σκοπῶν εἴ πῃ ὁ λόγος ἑαυτῷ ἐναντιοῦται ἢ τὰ πεπραγμένα τοῖς δικαίοις ἢ τῷ νόμῳ ἢ τῷ συμφέροντι ἢ τῷ καλῷ ἢ τῷ δυνατῷ ἢ τῷ ῥᾳδίῳ ἢ τῷ εἰκότι ἢ τῷ ἤθει τοῦ λέγοντος ἢ τῷ ἔθει τῶν πραγμάτων. τὰ μὲν οὖν τοιαῦτα τῶν ἐνθυμημάτων κατὰ τῶν ἐναντίων ἐκληπτέον· τὰ δ' ἐναντία τούτοις ὑπὲρ ἡμῶν αὐτῶν δεῖ λέγειν, ἀποφαίνοντας τὰς πράξεις τὰς ἡμετέρας καὶ τοὺς λόγους ἐναντιουμένους τοῖς ἀδίκοις καὶ τοῖς ἀνόμοις καὶ τοῖς ἀσυμφόροις καὶ τοῖς τῶν ἀνθρώπων τῶν πονηρῶν ἤθεσι, καὶ συλλήβδην τοῖς μοχθηροῖς νομιζομένοις εἶναι. δεῖ δὲ τούτων ἑκάστοις συνηγορεῖν ὡς εἰς βραχύτατα καὶ φράζειν ὅτι μάλιστα ἐν ὀλίγοις τοῖς ὀνόμασιν. τὰ μὲν οὖν ἐνθυμήματα τοῦτον τὸν τρόπον πολλὰ ποιήσομεν, καὶ οὕτως αὐτοῖς ἄριστα χρησόμεθα.

11 *Γνώμη δέ ἐστι μὲν ὡς ἐν κεφαλαίῳ καθ' ὅλων τῶν πραγμάτων δόγματος ἰδίου δήλωσις· δύο δὲ τρόποι τῶν γνωμῶν εἰσιν, ὁ μὲν ἔνδοξος ὁ δὲ παράδοξος. ὅταν μὲν οὖν ἔνδοξον λέγῃς, οὐδὲν δεῖ τὰς αἰτίας φέρειν· οὔτε γὰρ ἀγνοεῖται οὔτ' ἀπιστεῖται τὸ λεγόμενον· ὅταν δὲ παράδοξον λέγῃς, χρὴ φράζειν τὰς αἰτίας συντόμως, ἵνα τὴν ἀδολεσχίαν καὶ τὴν ἀπιστίαν διαφύγῃς. δεῖ δὲ τὰς γνώμας οἰκείας φέρειν τῶν πραγμάτων, ἵνα μὴ σκαιὸν καὶ ἀπηρτημένον φαίνηται τὸ λεγόμενον. πολλὰς δὲ ποιήσομεν αὐτὰς ἢ ἐκ τῆς ἰδίας φύσεως ἢ ἐξ ὑπερβολῆς ἢ ἐκ παρομοιώ-*

---

1. αὐτῶ D. 2. Fort. τῷ δικαίῳ ἢ τῷ νομίμῳ. 4. ἔθει CFM: ἤθει ceteri. 5. ἐκλειπτέον M. 6. δεῖ] χρὴ EG. ὑποφαίνοντας ABEFG. τὰς] αὐτὰς τὰς M. 10. μοχθηροῖς] πονηροῖς M. ἑκάστοις ABEG: ἕκαστα ceteri. 11. συνηγορεῖν] συναγαγεῖν Casaubonus. βραχύτατα EG: βραχύτητα ceteri. καὶ om. M. 12. ὀλίγοις τοῖς] Fort. ὀλιγίστοις. ὀνόμασι CFM: νοήμασι ceteri. 15. ὡς CFM: om. ceteri. Fort. καθόλου. 18. αἰτίας] ἐναντίας B. 19. τὸ λεγόμενον οὔτ' ἀπιστεῖται ABDEGMV Bekkerus. 21. δεῖ] ἀεὶ CFM. 22. τῶν πραγμάτων] Fort. τῷ πράγματι. ἀπηρτισμένον DV. 24. ἢ ἐκ τῆς] ἢ om. EG.

σεως. αἱ μὲν οὖν ἐκ τῆς ἰδίας φύσεως τοιαίδε τινές εἰσιν· οὐκ εἶναί μοι δοκεῖ δυνατὸν δεινὸν γενέσθαι στρατηγὸν πραγμάτων ἄπειρον ὄντα. ἑτέρα δέ ἐστιν ἥδε· νοῦν ἐχόντων ἀνδρῶν ἐστι τοῖς τῶν προγεγενημένων παραδείγμασι χρωμένους πειρᾶσθαι διαφυγεῖν τὰς ἐκ τῆς ἀβουλίας ἁμαρτίας. ἐκ μὲν οὖν τῆς ἰδίας φύσεως τοιαύτας ποιήσομεν γνώμας, ἐξ ὑπερβολῆς δὲ τοιάσδε· δεινότεράμοι δοκοῦσιν οἱ κλέπτοντες τῶν ληιζομένων ποιεῖν· οἱ μὲν γὰρ λαθραίως, οἱ δὲ φανερῶς τὰ χρήματα περιαιροῦνται. τὰς μὲν οὖν ἐξ ὑπερβολῆς γνώμας τὸν τρόπον τοῦτον πολλὰς ποιήσομεν, αἱ δ' ἐκ παρομοιώσεως τοιαίδε εἰσίν· ὁμοιότατόν μοι δοκοῦσιν οἱ τὰ χρήματα ἀποστεροῦντες τοῖς τὰς πόλεις προδιδοῦσι ποιεῖν· πιστευθέντες γὰρ ἀμφότεροι τοὺς πιστεύσαντας ἀδικοῦσιν. ἑτέρα δέ· παραπλήσιόν μοι δοκοῦσι ποιεῖν οἱ ἀντίδικοι τοῖς τυράννοις· ἐκεῖνοί τε γὰρ ὧν μὲν αὐτοὶ ἀδικοῦσιν, οὐκ ἀξιοῦσι διδόναι δίκας, ὧν δὲ τοῖς ἄλλοις ἐγκαλοῦσιν, ἀνυπερβλήτως τιμωροῦνται, οὗτοί τε εἰ μέν τι αὐτοὶ τῶν ἐμῶν ἔχουσιν, οὐκ ἀποδιδόασιν, εἰ δέ τι ἐγὼ τούτων ἔλαβον, καὶ αὐτὸ καὶ τοὺς τόκους οἴονται δεῖν κομίσασθαι. γνώμας μὲν οὖν τοῦτον τὸν τρόπον μετιόντες πολλὰς ποιήσομεν.

Σημεῖον δέ ἐστιν ἄλλο ἄλλου οὐ τὸ τυχὸν τοῦ τυχόντος οὐδ' ἅπαν παντός, ἀλλὰ τό γε εἰθισμένον γίνεσθαι πρὸ τοῦ πράγματος ἢ ἅμα τῷ πράγματι ἢ μετὰ τὸ πρᾶγμα. ἔστι δὲ σημεῖον τό τε γενόμενον οὐ μόνον τοῦ γενομένου

---

1. οὖν om. EG. ἰδίας — ἄπειρον om. M. 2. δυνατὸν om. G. γίνεσθαι ABEG. 3. νῦν M. 4. τῶν om. M. 7. τοιόνδε CMprF. 8. κλέπται ABEG. 10. τὸν τρόπον τοῦτον] Fort. τοῦτον τὸν τρόπον. πολλὰς om. EG. 11. ποιήσωμεν C. 15. ἀντίδικοι] ἄδικοι ABDEGV. 18. τι] τοι V. 20. οὖν] οὕτω ABDEGMV, om. CF. τοῦτον τὸν τρόπον CF: τὸν τρόπον DMV, τὸν τρόπον τοῦτον ceteri. 21. μετιόντες F corr. ες. 22. ἐστιν om. ABE. ἄλλου] ἄλλου δὲ E. 23. παντός] Fort. ἅπαντος. τό γε] Fort. τὸ. 25. τό τε γενόμενον om. EG, ση-

ἀλλὰ καὶ τοῦ μὴ γενομένου, ὡσαύτως δὲ καὶ τὸ μὴ γεγονος οὐ μόνον τοῦ μὴ ὄντος ἀλλὰ καὶ τοῦ ὄντος. ποιεῖ δὲ τῶν σημείων τὸ μὲν οἴεσθαι τὸ δὲ εἰδέναι, κάλλιστον δὲ τὸ εἰδέναι ποιοῦν· δεύτερον δὲ τὸ δόξαν πιθανωτάτην ἐργαζόμενον. πολλὰ δὲ ποιήσομεν σημεῖα συλλήβδην εἰπεῖν ἐξ ἑκάστου τῶν πεπραγμένων καὶ λεγομένων καὶ ὁρωμένων, καθ' ἓν ἕκαστον λαμβάνοντες, ἔκ τε τοῦ μεγέθους καὶ τῆς σμικρότητος τῶν ἀποβαινόντων κακῶν ἢ ἀγαθῶν, ἔτι δὲ καὶ ἐκ τῶν μαρτυριῶν καὶ ἐκ τῶν μαρτυρουμένων, καὶ ἐκ τῶν συμπαρόντων ἡμῖν ἢ τοῖς ἐναντίοις, καὶ ἐξ αὐτῶν ἐκείνων, καὶ ἐκ τῶν προκλήσεων, καὶ ἐκ τῶν χρόνων, καὶ ἐξ ἄλλων πολλῶν. τῶν μὲν οὖν σημείων ἐντεῦθεν εὐπορήσομεν.

13 Ἔλεγχος δέ ἐστι μὲν ὃ μὴ δυνατὸν ἄλλως ἔχειν, ἀλλ' οὕτως, ὡς ἡμεῖς λέγομεν, λαμβάνεται δὲ ἐκ τῶν φύσει ἀναγκαίων ἢ ἀναγκαίων ὡς ἡμεῖς λέγομεν ἢ ὁ ἀντιλέγων, καὶ ἐκ τῶν κατὰ φύσιν ἀδυνάτων ἢ ἀδυνάτων ὡς οἱ ἐναντίοι λέγουσιν. κατὰ φύσιν μὲν οὖν ἀναγκαῖόν ἐστιν οἷον τοὺς ζῶντας σιτίων δεῖσθαι, καὶ τὰ τούτοις ὅμοια· ὡς δ' ἡμεῖς λέγομέν ἐστιν ἀναγκαῖον, τοὺς μεμαστιγωμένους ὁμολογεῖν, ἅπερ οἱ μαστιγοῦντες κελεύουσιν. κατὰ φύσιν δὲ πάλιν ἀδύνατόν ἐστι, παιδάριον μικρὸν κλέψαι τοσοῦτον ἀργύριον, ὅσον μὴ δυνατὸν φέρειν, καὶ οἴχεσθαι τοῦτο φέρον· ὡς δ' ἂν ὁ ἐναντίος λέγοι, ἔσται ἀδύνατον, ἂν φάσκῃ μὲν ἐν χρόνοις τισὶν Ἀθήνησι ποιήσασθαι τὸ συμ-

---

μεῖον οὐ μόνον τό τε γενόμενον οὐ μόνου τοῦ F. Fort. τὸ γενόμενον. οὐ CFM: μὴ ceteri.

6. ὁρωμένων καὶ λεγομένων V. 8. δὲ καὶ CFM: καὶ om. ceteri. 9. μαρτυριῶν καὶ] μαρτυριῶν ἢ BEG. Fort. μαρτύρων καὶ. 11. καὶ ἐκ τῶν χρόνων om. CMprF. 15. λαμβάνεται — ἀντιλέγων om. CM. 16. ἢ ἀναγκαίων om. libri. ἢ ὁ ἀντιλέγων om. prF. 17. φύσιν ἀδυνάτων] φύσιν δυνατῶν libri. 23. ὅσον Bekkerus: οἷον libri. 24. λέγει M, λέγῃ E. δυνατὸν EG.

βόλαιον, ἡμεῖς δ' ἔχωμεν ἐπιδεῖξαι τοῖς ἀκούουσιν, ὡς κατὰ τοὺς τότε καιροὺς ἀπεδημοῦμεν ἐν ἑτέρᾳ πόλει τινί. τοὺς μὲν οὖν ἐλέγχους ἐκ τούτων καὶ ἐκ τῶν τούτοις ὁμοιοτρόπων ποιησόμεθα. συλλήβδην δὲ τὰς ἐξ αὐτοῦ τοῦ λόγου καὶ τῶν πράξεων καὶ τῶν ἀνθρώπων πίστεις ἁπάσας διεληλύθαμεν. σκεψώμεθα δὲ καὶ τί ἀλλήλων διαφέρουσιν.

Τὸ μὲν τοίνυν εἰκὸς τοῦ παραδείγματος ταύτῃ διαφέρει, διότι τοῦ μὲν εἰκότος ἔχουσιν αὐτοὶ οἱ ἀκούοντες ἔννοιαν, τὰ δὲ παραδείγματα . . . καὶ ἐκ τῶν ἐναντίων καὶ ἐκ τῶν ὁμοίων φέρειν ἔστι, τὰ δὲ τεκμήρια μόνον ἐκ τῶν περὶ τὸν λόγον καὶ τὴν πρᾶξιν ἐναντίων συντίθεται. καὶ μὴν ἐνθύμημα τεκμηρίου ταύτην τὴν διαφορὰν ἔσχηκεν, ὅτι τὸ μὲν τεκμήριον περὶ τὸν λόγον καὶ τὴν πρᾶξιν ἐναντίωσίς ἐστι, τὸ δ' ἐνθύμημα καὶ τὰς περὶ τὰς ἄλλας ἰδέας ἐναντιώσεις ἐξείληφεν· ἢ καὶ διότι τὸ μὲν τεκμήριον οὐκ ἐφ' ἡμῖν ἐστι λαμβάνειν, ἂν μὴ περὶ τὰ πράγματα καὶ τοὺς λόγους ἐναντίωσίς τις ὑπάρχῃ, τὸ δ' ἐνθύμημα πολλαχόθεν οἷόν τε πορίζεσθαι τοῖς λέγουσιν. γνῶμαι δ' ἐνθυμημάτων διαφέρουσιν, ἢ τὰ μὲν ἐνθυμήματα μόνον ἐκ τῶν ἐναντιώσεων σύγκειται, τὰς δὲ γνώμας καὶ μετὰ τῶν ἐναντιώσεων καὶ ἁπλῶς αὐτὰς καθ' αὑτὰς δυνατόν ἐστιν ἐμφανίζειν. τὰ δὲ σημεῖα τῶν γνωμῶν καὶ τῶν προειρημένων ἁπάντων ταύτῃ διαφέρουσιν, ὅτι τὰ μὲν ἄλλα πάντα οἴησιν ἐμποιεῖ τοῖς ἀκούουσιν, τῶν δὲ σημείων ἔνια καὶ σαφῶς εἰδέναι ποιήσει τοὺς κρίνοντας· καὶ διότι τῶν μὲν

---

1. ἔχομεν **F et Aldus.** 5. ἀνθρώπων] ἄλλων **CFM.** 10. παραδείγματα] **lacunam indicavit H. Sauppe.** 12. συντίθεται] καὶ συντίθεται **M.** 13. ἐνθύμημα **DV:** ἐνθύμημά γε **CFM,** ἐνθυμήματα **BEG.** ταύτῃ **M.** 16. ἐξήλειφεν **Aldus.** διότι] διὰ τὸ **ABE.** μὲν **om. CFM.** 17. ἐστι] εἶναι **Basil.** 18. ὑπάρχει **M.** 21. σύγκεινται **M.** καὶ **om. M.** 22. ἑαυτὰς **M.** 23. καὶ] ἐκ **G.** 24. ταῦτα **M.** ὅτι] ἢ **CFM.** 26. διότι] ὅτι **M.**

ἑτέρων οὐκ ἔστιν αὐτοὺς πορίσασθαι τὰ πλεῖστα, τῶν δὲ σημείων πολλὰ ῥᾳδίως ἔστι ποιήσασθαι. καὶ μὴν ἔλεγχος σημείου ταύτῃ διαφέρει, διότι τῶν μὲν σημείων ἕνια μόνον οἴεσθαι ποιεῖ τοὺς ἀκούοντας, ἔλεγχος δὲ πᾶς τὴν ἀλήθειαν διδάσκει τοὺς κρίνοντας. ὥστε τὰς μὲν τῶν λόγων καὶ τῶν πράξεων πίστεις οἵαί τέ εἰσι καὶ ὅθεν αὐτῶν εὐπορήσομεν καὶ τίνι ἀλλήλων διαφέρουσιν, ἐκ τῶν προειρημένων ἴσμεν· τῶν δ' ἐπιθέτων ἑκάστην πάλιν διέλθωμεν.

Ἡ μὲν οὖν δόξα τοῦ λέγοντός ἐστι τὸ τὴν αὑτοῦ διάνοιαν ἐμφανίζειν κατὰ τῶν πραγμάτων. δεῖ δ' ἔμπειρον ἀποφαίνειν ἑαυτὸν περὶ ὧν ἂν λέγῃ, καὶ ἐπιδεικνύναι ὡς συμφέρει [σοι] τἀληθῆ λέγειν περὶ τούτων· τὸν δ' ἀντιλέγοντα μάλιστα δεικνύναι μηδεμίαν ἐμπειρίαν ἔχοντα τὸν ἐναντίον περὶ ὧν ἀποφαίνεται· τήν τε δόξαν ὁμοίως. ἂν δὲ τοῦτο μὴ δυνατὸν ᾖ, δεικτέον ὡς καὶ οἱ ἔμπειροι πολλάκις ἐξαμαρτάνουσιν. ἂν δὲ τοῦτο μὴ ἐνδέχηται λέγειν, ὡς ἀσύμφορόν ἐστι τοῖς ἐναντίοις τἀληθῆ περὶ τούτων εἰπεῖν. ταῖς μὲν οὖν δόξαις τοῦ λέγοντος οὕτω χρησόμεθα καὶ αὐτοὶ ἀποφαινόμενοι καὶ ἑτέροις ἀντιλέγοντες.

Μαρτυρία δέ ἐστιν ὁμολογία συνειδότος ἑκόντος. ἀναγκαῖον δ' εἶναι τὸ μαρτυρούμενον ἢ πιθανὸν ἢ ἀπίθανον ἢ ἀμφίβολον πρὸς πίστιν, ὡσαύτως δὲ καὶ τὸν μάρτυρα πιστὸν ἢ ἄπιστον ἢ ἀμφίδοξον. ὅταν μὲν οὖν τὸ μαρτυρούμενον ᾖ πιθανὸν καὶ ὁ μάρτυς ἀληθινός, οὐδὲν δέονται αἱ μαρτυρίαι ἐπιλόγων, ἐὰν μὴ βούλῃ γνώμην ἢ ἐνθύμημα συντόμως εἰπεῖν τοῦ ἀστείου ἕνεκεν· ὅταν δὲ

---

1. αὐτοῖς **C**. 4. ποιεῖν **M**. 5. μὲν] **Fort.** μὲν ἐκ. 8. ἕκαστον **F**. 11. λέγοι **DMV**. 12. σοι **CFM**, om. ceteri. 13. μηδεμίας ἐμπειρίας **M**. τῶν ἐναντίων **CFM**. 14. τὴν δὲ **V** et **Aldus**. **Fort.** ἀποφαίνεται τὴν δόξαν. ἂν. 15. ὡς καὶ] καὶ ὡς **prF**. 20. ἑκόντος **M**: ἑκοντὴς **F**, ἑκοντὴς **C**, ἑκοντὶ ceteri. 23. πιστὸν] **Fort.** ἢ πιστὸν. 25. βούλει **DM** et **Aldus**.

ὑποπτεύηται ὁ μάρτυς, ἀποδεικνύειν δεῖ ὡς οὔτε χάριτος ἕνεκεν οὔτε τιμωρίας ἢ κέρδους ὁ τοιοῦτος ἂν τὰ ψευδῆ μαρτυρήσειεν. δεῖ δὲ καὶ διδάσκειν ὅτι οὐ συμφέρει τὸ ψεῦδος μαρτυρεῖν· αἱ μὲν γὰρ ὠφέλειαι μικραί, τὸ δ' ἐξελεγχθῆναι χαλεπόν, γνωσθέντα δ' οὐ μόνον εἰς ἀργύριον οἱ νόμοι ζημιοῦσιν, ἀλλὰ καὶ εἰς δόξαν καὶ εἰς ἀπιστίαν. τοὺς μὲν οὖν μάρτυρας οὕτω πιστοὺς ποιήσομεν· ἀντιλέγοντας δὲ μαρτυρίᾳ δεῖ τὸν τρόπον τοῦ μάρτυρος διαβάλλειν, ἂν ᾖ πονηρός, ἢ τὸ μαρτυρούμενον ἐξετάζειν, ἂν ἀπίθανον τυγχάνῃ, ἢ καὶ συναμφοτέροις τούτοις ἀντιλέγειν, συνάγοντα τὰ φαυλότατα τῶν ἐναντίων εἰς ταὐτό. σκεπτέον δὲ καὶ εἰ φίλος ἐστὶν ὁ μάρτυς ᾧ μαρτυρεῖ, ἢ εἰ μέτεστιν αὐτῷ ποθεν τοῦ πράγματος, ἢ ἐχθρός ἐστιν οὗ καταμαρτυρεῖ, ἢ πένης· τούτων γὰρ οἱ μὲν διὰ χάριν, οἱ δὲ διὰ τιμωρίαν, οἱ δὲ διὰ κέρδος ὑποπτεύονται τὰ ψευδῆ μαρτυρεῖν. καὶ τὸν τῶν ψευδομαρτυριῶν νόμον ἐπὶ τούτοις τεθεικέναι φήσομεν τὸν νομοθέτην· ἄτοπον οὖν εἶναι τοῦ νομοθέτου τοῖς μάρτυσι μὴ πιστεύσαντος τοὺς κρίνοντας πιστεύειν αὐτοῖς, κατὰ τοὺς νόμους κρινεῖν ὀμωμοκότας. τοὺς μὲν οὖν μάρτυρας οὕτως ἀπιθάνους ποιήσομεν, ἔστι δὲ καὶ κλέπτειν τὴν μαρτυρίαν τρόπῳ τοιῷδε· μαρτύρησόν μοι, ὦ Καλλίκλεις. μὰ τοὺς θεοὺς οὔκουν ἔγωγε· κωλύοντος γὰρ ἐμοῦ ταῦτ' ἔπραξεν οὗτος. καὶ διὰ τούτου ἐν ἀποφάσει ψευδομαρτυρήσας ψευδομάρτυρος δίκην οὐχ

---

1. ὁ μάρτυς om. D. 2. ἢ] Fort. οὔτε. ὁ τοιοῦτος] οὗτος CF, ἕνεκεν ὁ τοιοῦτος M. τὰ om. EG. 4. ἐξελεχθῆναι E. 7. ποιήσωμεν C. 8. μαρτυρίαν M. δεῖ — ἐξετάζειν om. prM. 10. ἀπίθανον τυγχάνῃ CFM: ἢ πιθανὸν ceteri. 13. αὐτῷ ποθεν CFM: ποθεν αὐτῷ ceteri. 14. ὁ μὲν EG. 15. ὑποπτεύοντες M. 17. εἶναι] εἶναι φήσομεν D. 18. μὴ om. G. 19. αὐτοῖς] Fort. αὐτοῖς τοὺς. κρίνειν libri. 21. καὶ om. B. 22. καλλίκλεις CM: καλικλεῖς F, λύσικλες DV, λυσικλῆς ceteri. 23. τούτου] τοῦτο CM. 24. ψευδομαρτυρίου CFM. Fort. ψευδομαρτυρίας.

ὑφέξει. τοιγαροῦν ὅταν μὲν ἡμῖν συμφέρῃ κλέπτειν τὴν μαρτυρίαν, οὕτως αὐτῇ χρησόμεθα· ἐὰν δὲ οἱ ἐναντίοι τοιοῦτόν τι ποιήσωσιν, ἐμφανιοῦμεν τὴν κακοποιίαν αὐτῶν καὶ συγγραψαμένους μαρτυρεῖν κελεύσομεν. μάρτυσι μὲν οὖν καὶ μαρτυρίαις ἐκ τούτων ἴσμεν ὡς δεῖ χρήσασθαι.

16 Βάσανος δέ ἐστι μὲν ὁμολογία παρὰ συνειδότος ἄκοντος δέ. ὅταν μὲν οὖν συμφέρῃ ἡμῖν αὐτὴν ποιεῖν ἰσχυράν, λεκτέον ὡς οἵ τε ἰδιῶται περὶ τῶν σπουδαιοτάτων καὶ αἱ πόλεις περὶ τῶν μεγίστων ἐκ βασάνων τὰς πίστεις λαμβάνουσι, καὶ διότι πιστότερόν ἐστι βάσανος μαρτύρων· τοῖς μὲν γὰρ μάρτυσι συμφέρει πολλάκις ψεύσασθαι, τοῖς δὲ βασανιζομένοις λυσιτελεῖ τἀληθῆ λέγειν· οὕτω γὰρ παύσονται τάχιστα τῆς κακοπαθείας. ὅταν δὲ βούλῃ τὰς βασάνους ἀπίστους ποιεῖν, πρῶτον μὲν λεκτέον ὡς οἱ βασανιζόμενοι τοῖς ἐκδιδοῦσι πολέμιοι γίνονται καὶ διὰ τοῦτο πολλοὶ τῶν δεσποτῶν καταψεύδονται· ἔπειθ' ὅτι πολλάκις τοῖς βασανίζουσιν ὁμολογοῦσιν οὐ τὰς ἀληθείας, ἵν' ὡς τάχιστα τῶν κακῶν παύσωνται. δεικτέον δ' ὅτι καὶ τῶν ἐλευθέρων πολλοὶ ἤδη βασανιζόμενοι καθ' ἑαυτῶν ἐψεύσαντο, βουλόμενοι τὴν παραυτίκα κακοπάθειαν ἐκφυγεῖν, ὥστε πολὺ μᾶλλον εὔλογον τοὺς δούλους ψευσαμένους κατὰ τῶν δεσποτῶν βούλεσθαι τὴν αὐτῶν τιμωρίαν ἐκφυγεῖν, ἢ πολλὰς κακοπαθείας τοῖς σώμασι καὶ ταῖς ψυχαῖς ὑπομείναντας, ἵν' ἕτεροι μηδὲν πάθωσιν, αὐτοὺς βούλεσθαι μὴ ψεῦδος εἰπεῖν. τὰς μὲν οὖν βασάνους ἐκ τῶν τοιούτων

---

1. ὅτε **M.** συμφέρει **E**, συμφέρειν **Aldus**, unde συμφέρει **ediderunt.** 2. ψευδομαρτυρίαν **V.** 6. παρὰ **CFM:** περὶ **ceteri.** 7. ποιεῖν αὐτὴν **M.** ἰσχυρὰν ποιεῖν **C.** 8. τε] γε **libri.** 9. αἱ **F et Aldus:** om. **ceteri.** 12. λυσιτελῇ **AB.** παύονται **B.** 13. βούλει **DM.** 15. ἐκδικοῦσι **V.** 16. δεσποτικῶν **prM.** 17. τοῖς **om. M.** 18. παύσονται **M.** 22. τὴν αὐτῶν] αὐτῶν τὴν **ABEG.** 23. ἢ] καὶ **ABEG.** 24. ὑπομείναντας **CFM:** ὑπομείναντες **ceteri.** αὐτοὺς **CFM:** αὐτοὶ **ceteri.** βούλεσθαι] **Fort. delendum.**

καὶ τῶν τούτοις ὁμοιοτρόπων πιθανὰς καὶ ἀπιθάνους κατα-
στήσομεν.

Ὅρκος δέ ἐστι μετὰ θείας παραλήψεως φάσις ἀναπό- 17
δεικτος. δεῖ δ' αὐτὸν ὅταν μὲν αὔξειν ἐθέλωμεν, λέγειν
οὕτως· οὐδεὶς ἂν ἐπιορκεῖν βούλοιτο φοβούμενος τήν τε
παρὰ τῶν θεῶν τιμωρίαν καὶ τὴν παρὰ τοῖς ἀνθρώποις
αἰσχύνην, καὶ διεξιέναι ὅτι τοὺς μὲν ἀνθρώπους λαθεῖν
ἔστι, τοὺς δὲ θεοὺς οὐκ ἔστιν. ὅταν δὲ οἱ ἐναντίοι κατα-
φύγωσιν εἰς ὅρκον, καὶ βουλώμεθα ταπεινοῦν αὐτόν, δει-
κτέον ὡς τῶν αὐτῶν ἐστιν ἀνθρώπων τὰ πονηρὰ πράττειν
καὶ μὴ φροντίζειν ἐπιορκοῦντας· ὅστις γὰρ κακουργῶν
οἴεται λανθάνειν τοὺς θεούς, οὗτος οὐδὲ ἐπιορκῶν τιμω-
ρίας οἴεται τεύξεσθαι. καὶ περὶ μὲν τῶν ὅρκων ὁμοιοτρό-
πως τοῖς προειρημένοις μετιόντες λέγειν εὐπορήσομεν
ὑπὲρ αὐτῶν.

Συλλήβδην δὲ τὰς πάσας πίστεις ἤδη, καθάπερ ὑπε-
θέμεθα, διεξεληλύθαμεν καὶ δεδηλώκαμεν οὐ μόνον ἣν
ἑκάστη αὐτῶν δύναμιν ἔσχηκεν, ἀλλὰ καὶ τί ἀλλήλων δια-
φέρουσι, καὶ πῶς αὐταῖς χρηστέον. νῦν δ' ὑπὲρ τῶν ὑπο-
λοίπων ἃ τῶν τριῶν εἰδῶν ἐστι, καὶ παρὰ πάντας τοὺς
λόγους χρήσιμα γίνεται, διδάσκειν ἐπιχειρήσομεν.

Προκατάληψις μὲν οὖν ἐστι, δι' ἧς τά τε τῶν ἀκου- 18
όντων ἐπιτιμήματα καὶ τοὺς τῶν ἀντιλέγειν μελλόντων
λόγους προκαταλαμβάνοντες ὑπεξαιρήσομεν τὰς ἐπιφερο-
μένας δυσχερείας. Καὶ τὰς μὲν τῶν ἀκουόντων ἐπιτιμή-
σεις ὧδε χρὴ προκαταλαμβάνειν· ἴσως δέ τινες ὑμῶν

---

3. περιλήψεως **BEG.** ἐναπόδεικτος **ABDEFGV.** 4. αὐτὸν ὅταν μὲν] **Fort.** ὅταν μὲν αὐτόν. θέλωμεν **EGM Bekkerus.** 7. καὶ διεξιέναι] οὐδ' ἐξιέναι **M.** τοῖς μὲν ἀνθρώποις **M.** 9. βουλώμεθα ἡμεῖς **Aldus**, βουλόμεθα **C.** 13. οἴεται τιμωρίας **D.** τεύξασθαι **BE.** 15. ὑπὲρ] περὶ **M.** 16. ὑπερεθέμεθα **ABEGM.** 17. δεδηλώκαμεν **Sylburg:** δεδώκαμεν **libri.** 20. ἃ] ὃ **EG.** τῶν τριῶν] **Fort.** πάντων τῶν **vel** τῶν ἑπτὰ. παρὰ] περὶ **CDFMV.** 24. ἐπιϊρομένας **M.** 26. καταλαμβάνειν **M.** ἡμῶν **D.**

θαυμάζουσιν ὅτι νέος ὢν οὕτω περὶ μεγάλων πραγμάτων ἐπεχείρησα δημηγορεῖν. καὶ πάλιν· μηδεὶς ἀπαντήσῃ μοι δύσκολος, ὅτι μέλλω συμβουλεύειν ὑμῖν περὶ ὧν ὀκνοῦσί τινες ἄλλοι παῤῥησιάζεσθαι πρὸς ὑμᾶς. περὶ μὲν οὖν τῶν μελλόντων δυσχεραίνεσθαι τοῖς ἀκούουσιν οὕτω δεῖ προκαταλαμβάνοντα φέρειν αἰτίας, παρ' ἃς ὀρθῶς ποιεῖν δόξεις συμβουλεύων, δεικνύντα τὴν ἐρημίαν τῶν λεγόντων, τὸ μέγεθος τῶν κινδύνων, ἢ τὸ τῷ κοινῷ συμφέρον, ἢ ἄλλην τοιαύτην αἰτίαν, δι' ἧς λύσεις τὴν ἐπιφερομένην δυσχέρειαν. ἂν δὲ μηδὲν ἧττον θορυβῶσιν οἱ ἀκούοντες, χρὴ λέγειν συντόμως, ἢ ὡς ἐν γνώμης ἢ ὡς ἐνθυμήματος σχήματι· διὸ πάντων ἀτοπώτατόν ἐστιν ἥκειν μὲν ὡς περὶ τῶν πραγμάτων βουλευσομένους τὰ κράτιστα, νῦν δὲ μὴ βουλομένους ἀκούειν τῶν λεγόντων οἴεσθαι καλῶς ἂν βουλεύσασθαι. καὶ πάλιν· ὅτι καλόν ἐστιν ἢ αὐτοὺς ἀνισταμένους συμβουλεύειν, ἢ τῶν συμβουλευόντων ἀκούσαντας, ἅπερ ἂν αὐτοῖς δοκῇ, χειροτονεῖν. ἐν μὲν οὖν ταῖς δημηγορίαις οὕτω καὶ ταῖς προκαταλήψεσι χρηστέον καὶ τοῖς θορύβοις ἀπαντητέον· ἐν δὲ ταῖς δικαιολογίαις προκαταληψόμεθα μὲν ὁμοιοτρόπως τοῖς προειρημένοις, ἀπαντήσομεν δὲ τοῖς θορύβοις, ἐὰν μὲν ἐν ἀρχαῖς γίνωνται τῶν λόγων, ὧδε· πῶς οὐκ ἄλογον οὖν ἐστι τὸν μὲν νομοθέτην προστάξαι δύο λόγους τῶν ἀντιδίκων ἑκάστῳ ἀποδοῦναι, τοὺς δὲ δικάζοντας ὑμᾶς ὁμωμοκέναι κατὰ τὸν νόμον κρινεῖν, εἶτα μηδὲ τὸν ἕνα λόγον ἀκοῦσαι βούλεσθαι; κἀκεῖνον μὲν ὑμῶν τοσαύτην πρόνοιαν ἔχειν, ὅπως ἀκούσαντες πάν-

---

1. θαυμάζουσιν om. EG. 4. ἡμᾶς A. 7. δόξαις M, δόξει DV Bekkerus, δόξειν EG. συμβουλεύειν CM. 10. θορυβῶσιν] F in ras. β. 12. διὸ] an διότι? Bekker. ἀτοπώτατον πάντων ABEG. 13. τῶν om. EG. 16. ἀκούσαντες M. 17. δοκεῖ M. 19. Fort. δικολογίαις. 22. ὧδέ πως libri. μὲν om. V. 23. ἑκάστῳ τῶν ἀντιδίκων CFM. 24. δικάζοντας] κακίζοντας EG. κρίνειν libri. 25. ἕνα] ἕνα τὸν V. κἀκεῖνον D et Bekkerus (ex BV?): καὶ ἐκεῖνον ceteri.

των τῶν λεγομένων εὐόρκως [θῆσθε τὴν ψῆφον, ὑμᾶς δὲ περὶ τούτων οὕτως ὀλιγώρως ἔχειν ὥστε μηδὲ τὰς ἀρχὰς ὑπομείναντας αὐτὰς τῶν λόγων ἤδη νομίζειν ἀκριβῶς ἅπαντα γινώσκειν; καὶ ἄλλως· πῶς οὐκ ἄλογόν ἐστι τὸν μὲν νομοθέτην τάξαι τῶν ψήφων ἴσων γινομένων τὸν φεύγοντα νικᾶν, ὑμᾶς δὲ οὕτως ἐναντίως γινώσκειν περὶ τούτων ὡς μηδὲ ἀπολογουμένων τῶν διαβεβλημένων ἀκούειν; κἀκεῖνον μὲν διὰ τὸ μᾶλλον κινδυνεύειν τοὺς φεύγοντας ἀπονεῖμαι ταύτην τὴν πλεονεξίαν αὐτοῖς ἐν ταῖς ψήφοις, ὑμᾶς δὲ τοῖς μὲν ἀκινδύνως κατηγοροῦσι μὴ φιλονεικεῖν, τοὺς δὲ μετὰ φόβων καὶ κινδύνων περὶ τῶν κατηγορουμένων ἀπολογουμένους [ὡς] θορυβοῦντας ἐκπλήττειν; ἐὰν μὲν οὖν ἐν ἀρχαῖς οἱ θόρυβοι γίνωνται, τοῦτον τὸν τρόπον αὐτοῖς ἀπαντητέον· ἐὰν δὲ προεληλυθότος τοῦ λόγου θορυβῶσιν, ἐὰν μὲν ὀλίγοι τινὲς τοῦτο ποιῶσιν, ἐπιτιμητέον τοῖς θορυβοῦσι καὶ πρὸς αὐτοὺς λεκτέον ὅτι δίκαιον νῦν μὲν αὐτοὺς ἀκούειν ἐστίν, ἵνα μὴ κωλύσωσι τοὺς ἄλλους ὀρθῶς δικάζειν, ἐπὰν δὲ ἀκούσωσι, τότε ποιεῖν ὅ τι ἂν ἐθέλωσιν. ἐὰν δὲ τὸ πλῆθος θορυβῇ, μὴ τοῖς κρίνουσιν ἀλλὰ σαυτῷ ἐπίπληξον· τὸ μὲν γὰρ ἐκείνοις ἐπιτιμᾶν ὀργὴν ἐργάζεται, τὸ δὲ ἑαυτῷ ἐπιπλῆξαι καὶ λέγειν ἡμαρτηκέναι συγγνώμης ποιήσει τυχεῖν. δεῖ δὲ καὶ δεῖσθαι τῶν κρινόντων εὐμενῶς αὐτοὺς ἀκοῦσαι τοῦ λόγου, καὶ μὴ περὶ ὧν μέλλουσι κρύβδην τὴν ψῆφον φέρειν, ἤδη τὴν

---

1. τῶν] τῶν τῶν **G**. θῆσθε **CDFMV**: θήσεσθαι **AEG**, θήσεσθε **editi ex Camotio (Bekkeri B?)**. 2. οὕτως **om. CMprF**. μηδὲ **CFM Bekkerus**: μήτε **ceteri**. 3. ὑπομείναντες **V**. αὐτὰς ὑπομείναντας **CM**. 7. ἀπολογουμένων τῶν διαβεβλημένων **om. M**. 10. φιλονείκειν **F**. 12. ὡς **om. CMprF**. 14. αὐτοῖς **om. prF**. 17. μὲν νῦν **M**. κωλύωσι **ABDEV Bekkerus**. 19. θέλωσιν **V**. 20. ἀλλ᾽ ἑαυτῶ **M**. 21. ἑαυτῷ] σαυτῶ **CDF**. λέγειν] λέγειν ἐν τῷ λέγειν **CFMV**. 22. δεῖ] καὶ **B**. 23. κρινόντων γρ. **F** eadem manu: κριττόνων **E**, κρειτόνων **Aldus**, κρειττόνων **ceteri**. Aut κρινόντων aut κριτῶν **reponendum**. τοὺς λόγους **C**. μὴ **om. libri**.

διάνοιαν φανερὰν τίθεσθαι. συλλήβδην δὲ τοῖς θορύβοις ἀπαντήσομεν κεφαλαιωδῶς ἢ γνώμαις ἢ ἐνθυμήμασι, δεικνύντες τοὺς θορυβοῦντας ἢ τοῖς δικαίοις ἢ τοῖς νόμοις ἢ τῷ συμφέροντι τῆς πόλεως ἢ τῷ καλῷ ἐναντιουμένους· ἐκ γὰρ τῶν τοιούτων ἔστιν ὅτι μάλιστα παῦσαι τοὺς ἀκούοντας θορυβοῦντας. ταῖς μὲν οὖν πρὸς τοὺς ἀκροατὰς προκαταλήψεσιν ὡς δεῖ χρῆσθαι, καὶ ὅπως τοῖς θορύβοις ἀπαντητέον, ἐκ τῶν προειρημένων ἴσμεν· τὰ δὲ ὑπὸ τῶν ἀνταγωνιστῶν ἐπίδοξα λέγεσθαι πάλιν ὡς δεῖ προκαταλαμβάνειν ὑποδείξω· ἴσως οὖν ὀδυρεῖται αὐτοῦ πενίαν, ἧς οὐκ ἐγὼ ἀλλ' ὁ τούτου τρόπος ὑπαίτιος ἔσται· καὶ πάλιν· πυνθάνομαι αὐτὸν τὸ καὶ τὸ μέλλειν λέγειν. ἐν μὲν οὖν τοῖς προτέροις λόγοις οὕτω δεῖ τὰ ἐπίδοξα λέγεσθαι ὑπὸ τῶν ἐναντίων προκαταλαμβάνοντα διαλύειν καὶ ἀσθενῆ ποιεῖν· καὶ γὰρ κἂν πάνυ ἰσχυρὰ ᾖ τὰ προδιαβεβλημένα, οὐχ ὁμοίως φαίνεται μεγάλα τοῖς ἤδη προακηκοόσιν· ἐὰν δὲ τοὺς ὑστέρους λόγους ἔχωμεν καὶ οἱ ἐναντίοι προκατειληφότες ὦσιν ἃ μέλλομεν λέγειν, ἀντιπροκαταληπτέον ἐστὶν αὐτὰ λύοντας τόνδε τὸν τρόπον· οὗτος δ' οὐ μόνον μου κατέψευσται πολλὰ πρὸς ὑμᾶς, ἀλλὰ καὶ σαφῶς εἰδὼς ὅτι ἐξελέγξω αὐτόν, προκατέλαβέ μου τὸν λόγον καὶ προδιέβαλεν, ἵν' ὑμεῖς μὴ ὁμοίως αὐτῷ προσέχητε, ἢ ἐγὼ μὴ εἴπω πρὸς ὑμᾶς αὐτὸν διὰ τὸ διασεσύρθαι πρότερον ὑπὸ τούτου· ἐγὼ δ' οἶμαι δεῖν τοὺς ἐμοὺς λόγους παρ' ἐμοῦ πυνθάνεσθαι ὑμᾶς, ἀλλὰ μὴ παρὰ τούτου, εἰ καὶ

ν

1. *διάνοιαν* **E**. 9. *ἐπίδοξα*] *μέλλοντα ἐπίδοξα* **DVγρF**. 10. *ὀδυνεῖται* **EG**. *αὐτοῦ*] **Fort.** *τὴν αὐτοῦ*. 11. *ἔσται*] **Fort.** *ἐστιν*. 12. *τόδε καὶ τόδε* **ABEG**. *μέλλει* **AEG**. 13. *προτέροις* **CFM**: *πρότερον* ceteri. *ἐπίδοξα*] *ἐπίδοξα μέλλοντα* **V**, *μέλλοντα ἐπίδοξα* **mg. F**. 15. *προδιαβεβλημένα*] **Fort.** *διαβεβλημένα*. 17. *ἔχομεν* **E**. an *λέγωμεν*? 18. *ἀντὶ τοῦ προκαταληπτέον* **C**. 19. *λύοντας*] *λύοντα* **libri**. 20. *μου* om. **E**. *σαφῶς γρF*, **nam pr.** *ἀφειδῶς*. 22. *προδιέβαλεν*] *διέβαλεν* **CFM**, *προδιέβαλλεν* **V**. 23. *σεσύρθαι* **CM**. 25. *εἰ* **CMprF**: *εἰ δὲ* ceteri.

ταῦθ' οὗτος προδιέσυρε λέγων, ἃ φημὶ οὐ μικρὰ σημεῖα εἶναι τοῦ μηδὲν ὑγιὲς τοῦτον λέγειν. κέχρηται δὲ καὶ Εὐριπίδης ἐν Φιλοκτήτῃ τεχνικῶς τούτῳ τῷ εἴδει διὰ τοῦδε·

λέξω δ' ἐγώ, κἄν μου διαφθείρας δοκῇ
λόγους, ὑποστὰς αὐτὸς ἠδικηκέναι·
ἀλλ' ἐξ ἐμοῦ γὰρ τἀμὰ μαθήσῃ κλύων,
ὁ δ' αὐτὸς αὐτὸν ἐμφανιεῖ σοι λέγων.

ταῖς μὲν οὖν προκαταλήψεσιν ὡς δεῖ χρῆσθαι καὶ πρὸς τοὺς κριτὰς καὶ πρὸς τοὺς ἐναντίους, ἴσμεν διὰ τούτων.

Αἰτήματα δέ ἐστιν ἐν τοῖς λόγοις ἃ παρὰ τῶν ἀκου- 19
όντων οἱ λέγοντες αἰτοῦνται. τούτων δ' ἐστὶ τὰ μὲν ἄδικα τὰ δὲ δίκαια. δίκαιον μὲν οὖν ἐστι τό τε προσέχειν τοῖς λεγομένοις αἰτεῖσθαι καὶ μετ' εὐνοίας ἀκούειν, δίκαιον δὲ καὶ τὸ κατὰ τοὺς νόμους αὐτῷ βοηθῆσαι, καὶ τὸ μηδὲν παρὰ τοὺς νόμους ψηφίσασθαι, καὶ τὸ τοῖς ἀτυχήμασι συγγνώμην ἔχειν. ἐὰν δὲ ᾖ παρὰ τοὺς νόμους, ἄδικον [ἐὰν δὲ μή, δίκαιον]. τὰ μὲν οὖν αἰτήματα ταῦτά ἐστι, διειλόμεθα δ' αὐτῶν τὰς διαφοράς, ἵν' εἰδότες τό τε δίκαιον καὶ τὸ ἄδικον χρώμεθα κατὰ τὸν καιρόν, καὶ μὴ λανθάνωσιν ἡμᾶς οἱ ἐναντίοι ἄδικόν τι αἰτοῦντες τοὺς δικάζοντας. καὶ περὶ μὲν τούτων ἐκ τῶν εἰρημένων οὐκ ἀγνοήσομεν.

Παλιλλογία δέ ἐστι [μὲν] σύντομος ἀνάμνησις, δεῖ δ' 20
αὐτῇ χρῆσθαι καὶ περὶ τῶν μερῶν καὶ περὶ τῶν ὅλων λόγων τὰς τελευτάς. παλιλλογήσομεν δὲ ἐν κεφαλαίοις ἢ

---

1. διέσυρε CMprF. 4. τοῦ ABEG. 5. δοκεῖ Aldus. 7. τἄμ' ἐπαισθήσῃ L. Kayser. κλύω M. 8. ἐμφανιεῖ σοι] ἐμφανιζέτω Pflugkius. 10. κριτὰς] Fort. ἀκροατὰς. 11. περὶ DV. 13. δίκαια. δίκαιον μὲν] δίκαιον F, quod eadem manus corr. δίκαια ἄδικον μὲν. 14. εὔνοιαν C. δὲ καὶ] καὶ om. M. 17. δὲ CMprF: μὲν ceteri. 18. ἐὰν δὲ μὴ δίκαιον] Fort. delenda. αἰτήματα] τήματα E. ταῦτα] Fort. τοιαῦτα. 24. παλιλογία G, qui sic ubique. μὲν om. M.

διαλογιζόμενοι ἢ προαιρούμενοι ἢ προσερωτῶντες ἢ ἀπολογιζόμενοι. δείξω δ' αὐτῶν οἷον ἕκαστόν ἐστιν. τὸ μὲν οὖν διαλογίζεσθαι τοιόνδε τί ἐστιν· ἀπορῶ δ' ἔγωγε τί ἂν ἐποίησαν οὗτοι, εἰ μὴ φανεροὶ μὲν ἦσαν ἡμᾶς πρότερον ἐγκαταλελοιπότες, ἐξηλέγχοντο δὲ ἐπὶ τὴν πόλιν ἡμῶν στρατεύσαντες, οὐδὲν δὲ πώποτε ὧν ὡμολογήκασι ποιήσαντες. τὸ μὲν οὖν διαλογίζεσθαι τοιοῦτόν ἐστι, τὸ δὲ ἀπολογίζεσθαι τοιοῦτον· ἀπέδειξα δ' αὐτοὺς διαλύσαντας προτέρους τὴν συμμαχίαν, καὶ πρῶτον ἐπιθεμένους ἡμῖν, ὅτε πρὸς Λακεδαιμονίους ἐπολεμοῦμεν, καὶ μάλιστα σπουδάσαντας ἐξανδραποδίσασθαι τὴν πόλιν ἡμῶν. τὸ μὲν οὖν ἀπολογίζεσθαι τοιόνδε ἐστί, τὸ δ' ἐκ προαιρέσεως ἀναμιμνήσκειν τοιόνδε· ἐνθυμεῖσθαι δὲ δεῖ ὅτι συμβέβηκεν ἡμῖν, ἐξ ὅτου τὴν φιλίαν πρὸς τούτους ἐποιησάμεθα, μηδέποτε κακὸν ὑπὸ τῶν πολεμίων παθεῖν· βοηθήσαντες γὰρ ἡμῖν πολλάκις ἐκώλυσαν Λακεδαιμονίους τὴν χώραν ἡμῶν διαφθεῖραι, χρήματα δὲ πολλὰ καὶ νῦν φέροντες διατελοῦσιν. ἐκ προαιρέσεως μὲν οὕτως ἀναμνήσομεν, ἐξ ἐπερωτήσεως δὲ τόνδε τὸν τρόπον· ἡδέως δ' ἂν αὐτῶν πυθοίμην, διὰ τί τὰς συντάξεις ἡμῖν οὐκ ἀποδιδόασιν; οὐ γὰρ ὡς ἀποροῦσιν εἰπεῖν ἂν τολμήσαιεν, οἳ τοσαῦτα χρήματα καθ' ἕκαστον ἐνιαυτὸν ἐκ τῆς χώρας ἐπιδεικνύονται λαμβάνοντες, οὐδ' αὖ φήσουσιν εἰς τὴν τῆς πόλεως διοίκησιν πολλὰ δαπανᾶν· παντελῶς γὰρ ἐλάχιστα τῶν νησιωτῶν ἀναλίσκον-

---

1. ἢ προαιρούμενοι om. CDFMVprA. Fort. ἢ διαλογιζόμενοι ἢ ἀπολογιζόμενοι ἢ ἐκ προαιρέσεως ἢ ἐξ ἐπερωτήσεως ἢ ἐξ εἰρωνείας. ἀπολογιζόμενοι] ἀπολογιζόμενοι ἢ ἐκ προαιρέσεως DVmg.F. 2. δ'] δι' EF, om. B. 3. τι om. M. δ' om. D. 8. τοιοῦτον] Fort. τοιόνδε. ἀπέδειξε EG, ἐπέδειξα C. 9. ὑμῖν C. 11. ἐξανδραποδίσαι EG. ἡμῶν om. D. 12. τοιόνδε] Fort. τοιοῦτον. προαιρέσεων M. 13. δὲ om. F. 14. ἐξόδου E. τούτους] τὸν τοὺς M. 16. ἐκώλυσε E. 18. μὲν] Fort. μὲν οὖν. 19. τόνδε om. M. αὐτὸν C. 20. οὐ] οὐδὲ DFV. 22. ἐπιδεικνύοντες DV. λαμβάνοντες CFM: λαμβάνειν ceteri. 23. αὖ Bekkerus: ἂν libri. φήσωσι CFM. 24. γὰρ] γὰρ καὶ M.

τες φαίνονται. ἐκ μὲν οὖν ἐπερωτήσεως οὕτω παλιλλογήσομεν.

Εἰρωνεία δέ ἐστι λέγειν τι μὴ προσποιούμενον λέγειν, 21
ἢ ἐν τοῖς ἐναντίοις ὀνόμασι τὰ πράγματα προσαγορεύειν. εἴη δ' ἂν αὐτῆς τὸ σχῆμα τοιοῦτον ἐν τῷ περὶ τῶν εἰρημένων συντόμως ἀναμιμνήσκειν· οὐδὲν δ' οἶμαι δεῖν λέγειν, ὅτι οὗτοι μὲν οἱ φάσκοντες πολλὰ ἀγαθὰ πεποιηκέναι πλεῖστα φαίνονται τὴν πόλιν κεκακουργηκότες· ἡμεῖς δ' οὓς οὗτοί φασιν ἀχαρίστους εἶναι, τούτοις τε πολλάκις βοηθήσαντες καὶ τοὺς ἄλλους οὐδὲν ἀδικοῦντες. τὸ μὲν οὖν ἐν προσποιήσει παραλείψεως λέγοντα συντόμως ἀναμιμνήσκειν τοιοῦτόν ἐστι, τὸ δὲ τοῖς ἐναντίοις ὀνόμασι προσαγορεύειν τὰ πράγματα πάλιν τοιοῦτον· οὗτοι μὲν οἱ χρηστοὶ πολλὰ φαίνονται τοὺς συμμάχους κακὰ πεποιηκότες, ἡμεῖς δ' οἱ φαῦλοι πολλῶν ἀγαθῶν [αὐτοῖς] αἴτιοι καταστάντες. διὰ τούτων μὲν οὖν συντόμως ἀναμιμνήσκοντες ταῖς παλιλλογίαις χρησόμεθα καὶ περὶ τῶν μερῶν καὶ περὶ τῶν ὅλων λόγων τὰς τελευτάς.

Ὅθεν δέ ἐστιν ἀστεῖα λέγειν καὶ τὰ μήκη τῶν λόγων 22
ποιεῖν, ὅπως ἄν τις θέλῃ, τοῦτο διέξιμεν πάλιν. ἀστεῖα μὲν οὖν λέγειν ἐκ τούτου τοῦ τρόπου ἔστιν, οἷον τὰ ἐνθυμήματα λέγοντας ὅλα ἢ ἡμίση ὥστε τὸ ἥμισυ αὐτοὺς ὑπολαμβάνειν τοὺς ἀκούοντας. δεῖ δὲ καὶ γνώμας συμπαραλαμβάνειν. χρὴ δὲ τούτων κατὰ πάντα τὰ μέρη συγκατα-

---

1. ἐπερωτήσεων **CFM**. οὕτως παλλιλογήσομεν **E**. 3. προσποιούμενον μὴ **BEG** et corr. **A**. 5. εἴη δ'] εἰ δ' **M**. αὐτοῖς **C**. 6. συντόμωσιν **E**. οὐδὲν] οὐδ' ἂν **ABEG**. δεῖ **EG**. 8. πλεῖστα **CDFM**: πλεῖστον ceteri. κεκακουργηκότες **Bekkerus**: ἐκκεκακουργηκότες libri. 9. ἀχαρίτους **E**. 12. δὲ] δ' ἐν **Aldus**. 13. τοιοῦτόν ἐστιν **CFM Aldus**. 15. πολλῶν **CFM**: om. ceteri. αὐτοῖς om. **CFM**. 17. ταῖς om. **M**. 20. τι **EG**. ἐθέλῃ **CF**, θέλοι **M**. 21. τρόπου **M**, Victorii codex, marg. Venetae, Camotius: τόπου ceteri. 22. ὅλα ἢ] Fort. delenda. ἡμίση] ἥμισυ **ABCEG**. ἀπολαμβάνειν **ABEGV**. 23. γνώμαις **FM**. παραλαμβάνειν **M**.

λέγειν διαλλάττοντα τοὺς λόγους, καὶ μηδέποτε ὅμοια εἰς τὸ αὐτὸ πολλὰ τιθέντα· καὶ οὕτως ἀστεῖος ὁ λόγος φανεῖται.

Μηκύνειν δὲ τοὺς λόγους βουλόμενον δεῖ μερίζειν τὸ πρᾶγμα καὶ ἐν ἑκάστῳ μέρει τὰ ἐνόντα οἷά τέ ἐστι τὴν φύσιν διδάσκειν, καὶ τὴν χρῆσιν καὶ ἰδίᾳ καὶ κοινῇ καὶ τὰς προφάσεις αὐτῶν ἐκδιηγεῖσθαι. ἂν δὲ καὶ [ἔτι] μακρότερον θελήσωμεν τὸν λόγον ποιεῖν, δεῖ πολλοῖς ὀνόμασι περὶ ἑκάστου χρῆσθαι. χρὴ δὲ καὶ παρὰ μέρος ἕκαστον τοῦ λόγου παλιλλογεῖν καὶ τὴν παλιλλογίαν σύντομον ποιεῖσθαι, ἐν δὲ τῇ τελευτῇ τοῦ λόγου ταῦτα, περὶ ὧν καθ' ἓν ἕκαστον εἴρηκας, ἀθρόα συντιθέναι, καὶ περὶ ὅλων τῶν πραγμάτων λέγειν. τοῦτον μὲν οὖν τὸν τρόπον μῆκος ἔξουσιν οἱ λόγοι.

Βραχυλογεῖν δὲ βουλόμενον ὅλον τὸ πρᾶγμα ἑνὶ ὀνόματι περιλαμβάνειν, καὶ τούτῳ ὃ ἂν ὑπάρχῃ βραχύτατον τῷ πράγματι. χρὴ δὲ καὶ συνδέσμους ὀλίγους ποιεῖν, τὰ πλεῖστα δὲ ζευγνύναι· ὀνομάζειν μὲν οὕτω, τῇ δὲ λέξει εἰς δύο χρῆσθαι, καὶ παλιλλογίαν τὴν σύντομον ἐκ τῶν μερῶν ἀφαιρεῖν, ἐν δὲ ταῖς τελευταῖς μόνον παλιλλογεῖν. καὶ τοῦτον μὲν τὸν τρόπον βραχεῖς τοὺς λόγους ποιήσομεν.

Ἐὰν δὲ βούλῃ μέσως λέγειν, τὰ μέγιστα τῶν μερῶν ἐκλέγων περὶ τούτων ποιεῖσθαι τοὺς λόγους. χρὴ δὲ καὶ τοῖς ὀνόμασι τοῖς μέσοις χρῆσθαι, καὶ μήτε τοῖς μακροτάτοις μήτε τοῖς βραχυτάτοις μήτε πολλοῖς περί γε ἑνὸς ἀλλὰ μετρίοις. χρὴ δὲ καὶ τοὺς ἐπιλόγους ἐκ τῶν ἀνὰ μέσον μερῶν μήτε παντελῶς ἐξαιρεῖν, μήτε πᾶσι τοῖς

---

1. ὅμοιον **Aldus.** 2. ἀστεῖος ὁ λόγος **FM:** ὁ λόγος ἀστεῖος **ceteri.** 7. τὰς **om. EG.** ἔτι **om. ABEG.** 8. ἐθελήσομεν **CM,** ἐθελήσωμεν **F.** 9. καὶ **CFM: om. ceteri.** ἕκαστα **C.** 10. παλιλλογεῖν καὶ τὴν **om. M.** 12. ἀθρόω **M,** ἀθρόως **Victorii codex, Venetae marg.** 16. τοῦτο **B.** ὑπάρχει **M,** ὑπάρχοι **CF.** 19. τὴν **om. B.** 20. μόναις **FM.** 22. βούλει **D.** 23. **Fort.** ἐκλέγοντα. 26. μετρίας **CM.**

μέρεσιν ἐπιφέρειν, ἀλλ' ἅπερ ἂν μάλιστα βούλῃ κατανοῆσαι τοὺς ἀκούοντας, ἐπὶ τούτων μάλιστα παλιλλογεῖν ἐπὶ τῇ τελευτῇ. τὰ μὲν οὖν μήκη τῶν λόγων ἐκ τούτων ποιήσομεν, ἡνίκα ἂν θέλωμεν. ἂν δὲ ἀστεῖον γράφειν θέλῃς λόγον, παραφύλαττε ὡς μάλιστα, ὅπως τὰ ἤθη τῶν λόγων ὁμοιοῦν τοῖς ἀνθρώποις δυνήσῃ. τοῦτο δὲ ποιήσεις, ἂν ἐπιθεωρῇς τὰ μεγάλα τῶν ἡθῶν καὶ τὰ ἀκριβῆ καὶ τὰ μέτρια. περὶ μὲν οὖν τούτων ἐντεῦθεν οὐκ ἀγνοήσεις, περὶ δὲ ὀνομάτων συνθέσεως δηλώσομεν· καὶ γὰρ τοῦτο τῶν ἀναγκαίων ἐστίν.

Πρῶτον μὲν οὖν τρόποι ὀνομάτων εἰσὶ τρεῖς, ἁπλοῦς 23
ἢ σύνθετος ἢ μεταφέρων. ὡσαύτως δὲ καὶ συνθέσεις τρεῖς, μία μὲν εἰς φωνήεντα τελευτᾷν ταῖς συλλαβαῖς καὶ ἀπὸ φωνήεντος ἄρχεσθαι, δευτέρα δὲ ἀπὸ ἀφώνου ἀρξάμενον εἰς ἄφωνον τελευτᾷν, τρίτη δὲ τὰ ἄφωνα πρὸς τὰ φωνήεντα συνδεῖν. τάξεις δὲ τέσσαρες, μία μὲν τὰ ὅμοια τῶν ὀνομάτων ἢ παράλληλα τιθέναι ἢ διασπείρειν, ἄλλη δὲ τοῖς αὐτοῖς ὀνόμασι χρῆσθαι ἢ μεταβάλλειν εἰς ἕτερα, τρίτη δὲ ἑνὶ ἢ πολλοῖς ὀνόμασι τὸ πρᾶγμα προσαγορεύειν, τετάρτη δὲ ἑξῆς τὰ πραχθέντα ὀνομάζειν ἢ ὑπερβιβάζειν. ὅπως δὲ καλλίστην ποιήσεις τὴν ἑρμηνείαν, νῦν δηλώσομεν.

Πρῶτον μὲν οὖν εἰς δύο ἑρμηνεύειν, εἶτα σαφῶς δεῖ 24
λέγειν. σχήματα δέ ἐστι τοῦ εἰς δύο λέγειν τάδε· ἓν μὲν ὅτι αὐτὸς δύναται καὶ τοῦτο καὶ ἕτερον, δεύτερον δὲ ὅτι οὗτος οὐ δύναται, ἕτερος δὲ δύναται, τρίτον δὲ ὅτι οὗτος 25

---

1. *βούλει* M, *βούληται* G. 3. *τῇ* om. ABDEG. 4. *ἐθέλωμεν* ABEG. *ἦν* DV. 6. *ἐὰν* EG. 9. *δηλήσωμεν* ABDV. 12. *δὲ* CDEFGM: om. ceteri. *θέσεις* CFMprA. 13. *συλλαβαῖς*] *συμβολαῖς* DEFGM. 14. *δεύτερον* MV. *ἀφώνου*] *ἀφωνήεντος* E et corr. G. 15. *τελευτῶς* C. *τρίτον* V. 16. *τέτταρες* FM. 18. *ἕτερα*] *ἄλληλα* CFM. 19. *τρίτον* DV. *ἑνὶ ἢ — τετάρτη* om. B. 20. *ἐξ ἧς* DV. *πραχθέντα*] *πραγματευθέντα* CF, *πράγματα θέντα* M et marg. Venetae. 21. *κάλλιστα* CFM. *ποιήσης* FV. 25. *οὐ δύναται — οὗτος* om. CM. *οὐ*] *μὲν οὐ* F.

καὶ τοῦτο καὶ ἕτερον δύναται, τέταρτον δὲ ὅτι οὔτ᾽ αὐτὸς οὔθ᾽ ἕτερος δύναται, πέμπτον δὲ ὅτι αὐτὸς μὲν δύναται, ἕτερος δὲ οὐ δύναται, ἕκτον δὲ ὅτι αὐτὸς μὲν ἕτερον δύναται, ἐκεῖνος δὲ οὐ δύναται ἕτερον. ἕκαστον δὲ τούτων ἐπὶ τῶνδε θεωρήσεις. ὅτι μὲν γὰρ αὐτὸς δύναται καὶ τοῦτο καὶ ἕτερον, τοιόνδε ἐστίν· ἐγὼ δὲ οὐ μόνον τούτων αἴτιος ὑμῖν ἐγενόμην, ἀλλὰ καὶ Τιμόθεον μέλλοντα στρατεύειν ἐφ᾽ ὑμᾶς διεκώλυσα. ὅτι δὲ οὗτος μὲν οὐ δύναται, ἕτερος δὲ δύναται, τοιόνδε· αὐτὸς μὲν [οὖν] ἀδυνάτως ἔχει πρεσβεύειν ὑπὲρ ἡμῶν, οὗτος δὲ φίλος ἐστὶ τῇ πόλει [τῶν] Σπαρτιατῶν, καὶ μάλιστ᾽ ἂν δυνηθείη πρᾶξαι ἃ βούλεσθε. τὸ δὲ ὅτι οὗτος καὶ τοῦτο καὶ ἕτερον δύναται, τοιόνδε· οὐ μόνον δὲ ἐν τοῖς πολέμοις εὔρωστον αὑτὸν παρέσχεν, ἀλλὰ καὶ βουλεύσασθαι τῶν πολιτῶν οὐχ ἥκιστα δύναται. τὸ δὲ ὅτι οὔτ᾽ αὐτὸς οὔθ᾽ ἕτερος δύναται, τοιόνδε· οὔτ᾽ ἂν αὐτὸς δυνηθείην ὀλίγην δύναμιν ἔχων καταπολεμῆσαι τοὺς ἐναντίους, οὔτ᾽ ἄλλος οὐδεὶς τῶν πολιτῶν. τὸ δὲ ὅτι ἐκεῖνος μὲν δύναται, αὐτὸς δὲ οὐ δύναται, τοιόνδε· οὗτος μὲν γὰρ ἔῤῥωται τῷ σώματι, ἐγὼ δ᾽ ἀῤῥωστῶν τυγχάνω. τὸ δὲ ὅτι αὐτὸς μὲν ἕτερον δύναται, ἐκεῖνος δὲ οὐ δύναται ἕτερον, τοιόνδε· ἐγὼ μὲν γὰρ κυβερνῆσαι δυνατός εἰμι, οὗτος δὲ οὐδὲ κωπηλατῆσαι δύναται. σχήματα μὲν οὖν τοῦ εἰς δύο ἑρμηνεύειν ὧδε ποιήσεις, ἐπὶ τῶν πραγμάτων

---

1. οὐθ᾽ αὐτὸς **EG**, αὐτοὶ **V**. 2. αὐτὸς μὲν δύναται, ἕτερος] **Fort.** ἐκεῖνος μὲν δύναται, αὐτὸς. 3. ἕκτον — ἕτερον **om. CMprF.** 5. καὶ τοῦτο καὶ ἕτερον **om. CMprF.** 7. ἐγενόμην] κατέστην **CFM.** 8. ἡμᾶς **C.** 9. δύναται] δύναται **G.** οὖν **om. CFM.** ἀδύνατος **F**, ἀδύνατον **M.** ἔχειν **V.** 10. τῶν **om. ABDEGV et Bekkerus.** 11. μάλιστ᾽] μάλ᾽ **EG.** ἂν] εἰ **CM**, **om. V.** δυνηθείη] βουληθείη **C.** ἃ] ἢ **B.** βούλεσθαι **M.** 13. εὔῤῥωστον **CEGVprF.** 14. τὸ δὲ — δύναται **om. M.** 15. ὅτι **Aldus: om. libri.** οὔθ᾽ ἕτερος **om. D.** δύναται **om. ABEG.** ἂν **om. CDEMV.** 16. δυνηθείην] δυνηθείη **CFM**, δυνηθῇ **ceteri.** 19. γὰρ **om. FprC.** 20. ὅτι **om. ABEFG.**

ἁπάντων τὸν αὐτὸν τρόπον μετιών. σαφῶς δὲ ὅδεν δηλώσεις, τοῦτο πάλιν σκεπτέον.

Πρῶτον μὲν οὖν ὀνόμαζε τοῖς οἰκείοις ὀνόμασιν ὅ τι ἂν λέγῃς, διαφεύγων τὸ ἀμφίβολον. εὐλαβοῦ δὲ περὶ τὰ φωνήεντα τῶν γραμμάτων, ὅπως μὴ ἐξῇς τεθήσονται. πρόσεχε δὲ καὶ τοῖς καλουμένοις ἄρθροις, ὅπως ἐν τῷ δέοντι προστεθῆται. σκόπει δὲ καὶ τὴν σύνθεσιν τῶν ὀνομάτων, ὅπως μήτε συγκεχυμένη μήθ' ὑπερβατὴ ἔσται· τὰ γὰρ οὕτω λεγόμενα δύσγνωστα συμβαίνει. μετὰ δὲ συνδέσμους οὓς ἂν προείπῃς, ἀποδίδου τοὺς ἀκολουθοῦντας. τὸ μὲν οὖν [τοὺς] συνδέσμους ἀποδιδόναι τοὺς ἀκολουθοῦντας τοιόνδε ἐστίν· ἐγὼ μὲν παρεγενόμην οὗ ἔφην, σὺ δὲ φάσκων ἥξειν οὐκ ἦλθες. πάλιν ὅταν ὁ αὐτὸς [σύνδεσμος] συνακόλουθος ᾖ, οἷον· σὺ γὰρ κἀκείνων αἴτιος ἐγένου, καὶ τούτων αἴτιος σύ. περὶ μὲν οὖν τῶν συνδέσμων εἴρηται, καὶ ἀπὸ τούτων τεκμαίρεσθαι δεῖ καὶ περὶ τῶν ἄλλων. δεῖ δὲ καὶ τὴν σύνθεσιν τῶν ὀνομάτων μήτε συγκεχυμένην μήτε ὑπερβατὴν εἶναι· τὸ μὲν γὰρ συγκεχυμένον τοιόνδε ἐστίν, ὡς ὅταν εἴπῃς· δεινόν ἐστι τοῦτον τοῦτον τύπτειν· ἄδηλον γὰρ ἦν ὁπότερος [ἂν] ἦν ὁ τύπτων. ἐὰν δὲ εἴπῃς οὕτως, δῆλον ποιήσεις· δεινόν ἐστι τοῦτον ὑπὸ τούτου τύπτεσθαι. τὸ μὲν οὖν συγχεῖν τὴν σύνθεσιν τῶν ὀνομάτων τοιόνδε ἐστί. τὸ δὲ προσέχειν τοῖς ἄρθροις, ὅπως ἐν τῷ δέοντι προστεθῆται, ἐπὶ τῶνδε ὅρα· οὗτος ὁ ἄνθρωπος τοῦτον τὸν ἄνθρωπον ἀδικεῖ. νῦν μὲν [οὖν]

---

1. τὸν αὐτὸν] Fort. τοῦτον τὸν. 4. λέγοις CM. 5. πραγμάτων M. 7. προστίθεται DM. 8. ἐστι CFM. 10. οὓς — συνδέσμους om. V, οὓς om. prF. προείποις DFM. 11. τὸ μὲν — ἀκολουθοῦντας om. GprE. τοὺς om. ABDV. 13. ἥξειν om. ABEG. σύνδεσμος om. ABDEGV. 14. ἀκόλουθος CFM. οἷον om. CFM. 15. σὺ om. B. 18. εἶναι om. DV, ποιεῖν CFM. συγκεχυμένον CFM: συγκεχυμένως ceteri. 19. ὅτε F. εἴποις FM. τοῦτον semel ACM. τύπτειν τοῦτον DE. 20. ἂν om. FM. Fort. γὰρ ὁπότερος ἦν. 21. εἴποις M. 22. τούτου] τούτοις M. 23. τοιόνδε] Fort. τοιοῦτον. 25. ἀδικεῖν M. οὖν om. FM.

ἐγγινόμενα τὰ ἄρθρα σαφῆ ποιεῖ τὴν λέξιν, ἐξαιρεθέντα δὲ ἀσαφῆ ποιήσει. ἔσθ' ὅτε δὲ συμβαίνει καὶ τὸ ἀνάπαλιν. τὰ μὲν οὖν ἐν τοῖς ἄρθροις τοιαῦτά ἐστι. τὰ δὲ φωνήεντα μὴ τίθει παράλληλα, ἂν μή ποτε ἄλλως ἀδύνατον ἢ δηλῶσαι, ἢ ἀνάπτυξις ἢ τις ἢ ἄλλη διαίρεσις. τὸ δὲ τὰ ἀμφίβολα διαφεύγειν τοιόνδε ἐστίν· ἔνια τῶν ὀνομάτων ταὐτὰ ἐπὶ πλείοσι πράγμασι κεῖται, οἷον ὁδὸς τῶν θυρῶν καὶ ὁδὸς ἣν βαδίζουσιν. δεῖ δ' ἐπὶ τοῖς τοιούτοις τὸ ἴδιον ἀεὶ συμπαραλαμβάνειν. καὶ σαφῶς μὲν ἐν τοῖς ὀνόμασιν, ἂν ταῦτα ποιῶμεν, διαλεξόμεθα, εἰς δύο δ' ἑρμηνεύσομεν διὰ τῆς προτέρας μεθόδου.

26 Περὶ δὲ ἀντιθέτων καὶ παρισώσεων καὶ ὁμοιοτήτων λέγωμεν ἤδη· δεησόμεθα γὰρ καὶ τούτων. ἀντίθετον μὲν οὖν ἐστι τὸ ἐναντίαν τὴν ὀνομασίαν ἅμα καὶ τὴν δύναμιν τοῖς ἀντικειμένοις ἔχον, ἢ τὸ ἕτερον τούτων. τοῖς μὲν οὖν ὀνόμασιν εἴη ἂν ἐναντίον ἅμα καὶ τῇ δυνάμει τόδε· οὐ γὰρ δίκαιον τοῦτον μὲν τὰ ἐμὰ ἔχοντα πλουτεῖν, ἐμὲ δὲ τὰ ὄντα προϊέμενον οὕτω πτωχεύειν. τοῖς δ' ὀνόμασι μόνοις· διδότω γὰρ ὁ πλούσιος καὶ εὐδαίμων τῷ πένητι καὶ ἐνδεεῖ. τῇ δὲ δυνάμει· ἐγὼ μὲν τοῦτον νοσοῦντα ἐθεράπευσα, οὗτος δ' ἐμοὶ μεγίστων κακῶν αἴτιος γέγονεν. ἐνταῦθα μὲν γὰρ τὰ ὀνόματα οὐκ ἐναντία, αἱ δὲ πράξεις ἐναντίαι. κάλλιστον μὲν οὖν εἴη ἂν τὸ κατ' ἀμφότερα ἀντίθετον, καὶ κατὰ τὴν δύναμιν καὶ κατὰ τὴν ὀνομασίαν. ἔστι δὲ καὶ τὰ λοιπὰ δύο ἀντίθετα.

27 Παρίσωσις δέ ἐστι μέν, ὅταν δύο ἴσα λέγηται κῶλα· εἴη δ' ἂν ἴσα καὶ πολλὰ μικρὰ ὀλίγοις μεγάλοις, καὶ ἴσα

---

1. ἐγγενόμενα **CFM**. 3. ἐν **om. C**. φωνήεντα δὲ **CFM**. 4. τίθη **C**. ἂν **om. M**. ἀδύνατον **Bas.**: δυνατὸν **libri**. 5. τὰ **om. DV**. 7. πλείστοις **F**. 8. δ'] δὴ **C**. 9. συμπαραλαμβάνειν **Bekkerus (ex BV?)**: συμπεριλαμβάνειν **nostri**. 10. δ'] δι' **D**. 12. ἀντιθέσεων **EG**. περισώσεων **EG**. 13. λέγομεν **DM**. 14. ἐναντίον **M**. 21. δ' ἐμοὶ **Bekkerus**: δέ μοι **nostri**. 24. τὴν **ante** δύναμιν **om. CMV**. 27. πολλὰ καὶ **DV**.

τὸ μέγεθος ἴσοις τὸν ἀριθμόν. ἔχει δὲ τοιόνδε τὸ σχῆμα ἡ παρίσωσις· ἢ διὰ χρημάτων ἀπορίαν ἢ διὰ πολέμου μέγεθος. ταῦτα γὰρ οὔτε ὅμοια οὔτε ἐναντία ἀλλ' ἴσα μόνον ἀλλήλοις.

Παρομοίωσις δέ ἐστιν ἡ μείζων τῆς παρισώσεως· οὐ 28 5
γὰρ μόνον ἴσα τὰ κῶλα ποιεῖ, ἀλλὰ καὶ ὅμοια ἐξ ὁμοίων ὀνομάτων· ὅσον δεῖ σε λόγου μίμημα, φέρε πόθου τέχνασμα. μάλιστα δὲ ποίει ὅμοια τὰ τελευταῖα τῶν ὀνομάτων· ταῦτα γὰρ μάλιστα ποιεῖ τὴν ὁμοίωσιν. ὅμοια δ' ἐστὶν ὀνόματα τὰ ἐξ ὁμοίων συλλαβῶν, ἐν αἷς πλεῖστα γράμματα τὰ αὐτά 10
ἐστιν, οἷον, πλήθει μὲν ἐνδεῶς δυνάμει δὲ ἐντελῶς.

Ὅσα δὲ ἔξω τέχνης κεῖται, τὸ αὐτόματον αὐτὸ δείξει. περὶ μὲν οὖν τούτων ἀπόχρη· καὶ γὰρ τὸ δίκαιον καὶ τὸ καλὸν καὶ τὸ συμφέρον καὶ τὰ λοιπὰ αὐτά τε ἴσμεν ἅ ἐστι, καὶ ὅθεν αὐτὰ πολλὰ ποιήσομεν. ὡσαύτως δὲ καὶ 15
τὰς αὐξήσεις καὶ τὰς ταπεινώσεις γινώσκομεν, αἵ τινές τέ εἰσι καὶ ὅθεν αὐτῶν εἰς τοὺς λόγους εὐπορήσομεν. ὁμοιοτρόπως δὲ τούτοις τάς τε προκαταλήψεις καὶ τὰ παρὰ τῶν ἀκουόντων αἰτήματα καὶ τὰς παλιλλογίας καὶ τὰς ἀστειολογίας καὶ τὰ μήκη τῶν λόγων καὶ τῆς ἑρμηνείας 20
τὴν σύνθεσιν ἅπασαν ἴσμεν. ὥστε τὰς κοινὰς δυνάμεις ἁπάντων τῶν εἰδῶν [καὶ τὰς διαφορὰς] καὶ τὰς χρήσεις αὐτῶν ἐκ τῶν προειρημένων εἰδότες, ἂν ἐθίσωμεν ἡμᾶς αὐτοὺς καὶ γυμνάσωμεν ἀναλαμβάνειν αὐτὰς κατὰ τὰ προγυμνάσματα, πολλὴν εὐπορίαν καὶ λέγοντες καὶ γράφοντες 25

οις
1. ἴσοις **DV Bekkerus**: ἴσα **F**, ἴσα **ceteri**. τόδε **CFM**. τὸ **om. V**. 2. ἡ **om. E**. 5. ἐστιν ἡ] **Fort.** ἐστι. 6. ποιεῖ ἀλλὰ — μάλιστα δὲ **om. M**. 7. ὅσον] **Fort.** οἷον. πόθον **V**. 8. ποίει **Buhle ex Philelpho**: ποιεῖ **Basil. et Bekkerus ex B ut videtur, nostri cum V et Aldo omnes** ποιεῖν. **Fort.** δεῖ ποιεῖν. 11. δυνάμεις **E**. 13. οὖν **om. BC**. 14. ἅ] **Fort.** οἷα. 16. γινώσκομεν] **post hoc fort. excidit** πίστεων **mentio**. 22. καὶ τὰς διαφορὰς **om. CMprF**. 23. εἰθίσωμεν **BDE**. 25. καὶ πολλὴν **CFM**. λέγοντες καὶ γράφοντες **CFM**: γράφοντες καὶ λέγοντες **ceteri**.

ἐξ αὐτῶν ἕξομεν. κατὰ [τὰ] μέρη μὲν οὖν οὕτως ἀκριβέστατα ἂν διέλθοις τὰς τῶν λόγων μεθόδους. ὡς δ' ἐπὶ τοῖς εἴδεσι χρὴ τάττειν τοὺς λόγους σωματοειδῶς, τίσι τε πρώτοις τῶν μερῶν χρῆσθαι καὶ πῶς τούτοις αὐτοῖς, [ταῦτα] πάλιν δηλώσω. προοίμια μὲν οὖν προτάττω· κοινὸν δ' ἐστὶ τῶν ἑπτὰ εἰδῶν καὶ ἐπὶ πᾶσι τοῖς πράγμασιν ἁρμόσει λεγόμενον.

29 Ἔστι δὲ προοίμιον καθόλου μὲν εἰπεῖν ἀκροατῶν παρασκευή, καὶ τοῦ πράγματος ἐν κεφαλαίῳ μὴ εἰδόσι δήλωσις, ἵνα γινώσκωσι περὶ ὧν ὁ λόγος παρακολουθῶσί τε τῇ ὑποθέσει, καὶ ἐπὶ τὸ προσέχειν παρακαλέσαι, καὶ καθ' ὅσον τῷ λόγῳ δυνατόν, εὔνους ἡμῖν αὐτοὺς ποιῆσαι. τούτων μὲν οὖν εἶναι δεῖ τὸ προοίμιον παρασκευαστικόν. ὡς δὲ αὐτῷ χρησόμεθα, πρῶτον μὲν ἐπὶ τῶν δημηγορικῶν καὶ προτρεπτικῶν, τοῦτο δείξω.

Τὸ μὲν οὖν προεκτιθέναι τὸ πρᾶγμα τοῖς ἀκούουσι καὶ φανερὸν ποιεῖν τοιόνδε ἐστίν· ἀνέστην συμβουλεύσων ὡς χρὴ πολεμεῖν ἡμᾶς ὑπὲρ Συρακουσίων. ἀνέστην ἀποφανούμενος ὡς οὐ χρὴ βοηθεῖν ἡμᾶς Συρακουσίοις. τὸ μὲν οὖν φράζειν ἐν κεφαλαίῳ τὸ πρᾶγμα τοιόνδε ἐστίν.

Προσέχειν δὲ παρακαλεῖν ἐκ τούτων ἂν εἰδείημεν, εἰ κατανοήσαιμεν αὐτοὶ ποίοις μάλιστα καὶ λόγοις καὶ πράγμασι βουλευόμενοι προσέχομεν. ἆρ' οὖν οὐ τούτοις, ὅταν ἢ ὑπὲρ μεγάλων ἢ φοβερῶν ἢ τῶν ἡμῖν οἰκείων βουλευώμεθα; ἢ φάσκωσιν [ἐπιδείξειν] οἱ λέγοντες ὡς δίκαια καὶ

---

1. τὰ om. BCEGM. 2. διέλθοις Aldus: διέλοις libri. 3. τάττειν] πράττειν Aldus. 5. ταῦτα om. CFM. Fort. προοίμιον. 6. δ'] Fort. γὰρ. 8. μὲν om. M. 11. ἐπὶ] ἔτι CDF, ἔστι M. τὸ om. CDFMprA. 13. οὖν om. AE. 14. μὲν] μὲν οὖν FM. δημηγορικῶν] Fort. δημηγοριῶν. καὶ om. prM. 15. προτρεπτικῶν] Fort. προτρεπτικῶν καὶ ἀποτρεπτικῶν. 17. ἀνέστη M. 18. συῤῥακουσίων MV; item συῤῥακουσίοις. ἀποφαινόμενος ABDEV. 21. εἰδοίημεν CM. 24. ἢ τῶν] καὶ τῶν M. 25. ἐπίδείξειν inclusit Bekkerus, ἐπίδειξιν mg. C.

καλὰ καὶ συμφέροντα καὶ ῥᾴδια καὶ ἀληθῆ ἐπιδείξουσιν ἡμῖν, ἐφ' ἃ πράττειν παρακαλοῦσιν; ἢ δεηθῶσιν ἡμῶν ἀκοῦσαι αὐτῶν προσέχοντας τὸν νοῦν; ὥσπερ οὖν αὐτοὶ τοῖς ἄλλοις, οὕτω καὶ ἡμεῖς τὰ οἰκειότατα τῶν προειρημένων τοῖς ὑφ' ἡμῶν πράγμασι λεγομένοις λαμβάνοντες καὶ τοῖς ἀκούουσιν ἐνδεικνύμενοι προσέχειν αὐτοῖς ποιήσομεν. ἐπὶ μὲν οὖν τὸ προσέχειν διὰ τούτων παρακαλοῦμεν.

Τὴν εὔνοιαν δὲ παρασκευασόμεθα διασκεψάμενοι πρῶτον πῶς πρὸς ἡμᾶς αὐτοὶ τυγχάνουσιν ἔχοντες, εὐνοϊκῶς ἢ δυσμενῶς ἢ μήτε εὖ μήτε κακῶς. ἐὰν μὲν οὖν εὔνοι τυγχάνωσιν ὄντες, περίεργον λέγειν περὶ εὐνοίας, ἐὰν δὲ πάντως βουλώμεθα, χρὴ συντόμως μετ' εἰρωνείας εἰπεῖν τοῦτον τὸν τρόπον· ὅτι μὲν οὖν εὔνους εἰμὶ τῇ πόλει, καὶ πολλάκις μοι πεισθέντες συμφερόντως ἐπράξατε, καὶ διότι πρὸς τὰ κοινὰ δίκαιον ἐμαυτὸν παρέχω καὶ μᾶλλόν τι τῶν ἰδίων προϊέμενον ἢ ἀπὸ τῶν δημοσίων ὠφελούμενον, περίεργον εἶναι νομίζω πρὸς ὑμᾶς τοῦτό γε σαφῶς εἰδότας λέγειν· ὡς δὲ εἰ καὶ νῦν μοι πεισθῆτε, καλῶς βουλεύσεσθε, τοῦτο πειράσομαι διδάσκειν. τοῦτον μὲν οὖν τὸν τρόπον τοῖς εὖ διακειμένοις ἐν ταῖς δημηγορίαις τῆς εὐμενείας ὑπομνηστέον. τοῖς δὲ μήτε διαβεβλημένοις μήτε εὖ διακειμένοις ῥητέον ὡς δίκαιόν ἐστι καὶ συμφέρον τοῖς πεῖραν μὴ δεδωκόσι τῶν πολιτῶν εὔνους ἀκροατὰς γενέσθαι. ἔπειτα τοὺς ἀκούοντας ἐπαίνῳ θεραπευτέον, δικαίως καὶ νουνεχῶς τοὺς λόγους ὡς εἰώθασι δοκιμάζειν. ἔτι δὲ τὰς ἐλαττώσεις οἰστέον λέγοντας ὡς οὐ δεινότητι πιστεύων ἀνέστην, ἀλλὰ νομίζων τῷ κοινῷ τὸ συμφέρον εἰσηγή-

---

1. ἀληθινὰ ABEG. 2. δεηθῶμεν E. 3. αὐτῶν ἀκοῦσαι G. 5. λεγομένας C. 6. ἐνδεικνύμενοι] μὲν δεικνύμενοι M. 9. αὐτοὺς ABCDEFGM. 11. τυγχάνουσιν C. ἂν ACEFGM. 12. βουλευώμεθα DV. 13. τὸν om. C. 14. ἐπράξατε om. B. 17. τε M. 18. βουλεύσασθε V. 20. ἐν ταῖς δημηγορίαις om. EG. 22. ὡς] ὡς οὐ B. 23. μὴ πεῖραν CM. 24. ἐπαίνων C. 26. ἰστέον M. ὡς om. M. 27. νομίζω B. εἰσηγήσεσθαι G: εἰσηγήσασθαι ceteri.

σεσθαι. καὶ τοῖς μὲν μήτε εὖ μήτε κακῶς διακειμένοις ἐκ τῶν τοιούτων τὴν εὔνοιαν ποριστέον, τοὺς δὲ διαβεβλημένους ἀναγκαῖον τὰς διαβολὰς ἢ αὐτοὺς ἔχειν, ἢ τὰ πράγματα ὑπὲρ ὧν λέγουσιν, ἢ τὸν λόγον. αὐτῶν δὲ αἱ διαβολαὶ γίνονται ἢ ἐκ τοῦ παρόντος ἢ ἐκ τοῦ παροιχομένου χρόνου. ἐκ μὲν οὖν τοῦ παροιχομένου χρόνου ἐάν τις ὑποπτεύηται εἰς πονηρίαν τινά, πρῶτον μὲν τῇ πρὸς τοὺς ἀκροατὰς προκαταλήψει χρῆσθαι καὶ λέγειν ὡς· οὐδ' αὐτὸς ἀγνοῶ διαβεβλημένος, ἀλλ' ἐπιδείξω ψευδεῖς οὔσας τὰς διαβολάς. ἔπειτα κεφαλαιωδῶς ἐν τοῖς προοιμίοις ἀπολογητέον, ἂν ἔχῃς τι λέγειν ὑπὲρ σαυτοῦ, καὶ τὰς κρίσεις ψεκτέον. ἀναγκαῖον γὰρ, ἄν τε πρὸς τὸ δημόσιον ᾖ τις διαβεβλημένος, ἄν τε πρὸς τοὺς ἰδιώτας, ἢ γεγενῆσθαι κρίσιν ἢ μέλλειν γενήσεσθαι ἢ μὴ βούλεσθαι τοὺς τὴν αἰτίαν ἐπενεγκόντας λαβεῖν κρίσιν, καὶ ῥητέον ὡς ἀδίκως ἡ κρίσις ἐγένετο, καὶ ὡς ὑπὸ τῶν ἐχθρῶν κατεστασιάσθημεν. ἢ ἐὰν τοῦτο μὴ ἐνδέχηται, λέγε ὡς ἱκανὸν ἡμῖν ἀτυχήσασι τότε, καὶ ὡς δίκαιόν ἐστι ἤδη τῶν πραγμάτων κεκριμένων μὴ περὶ τῶν αὐτῶν ἔτι διαβολὰς ἔχειν. ἂν δ' ἐπίδοξος ᾖ κρίσις ᾗ γενέσθαι, λεκτέον ὡς ἕτοιμος εἶ περὶ τῶν διαβολῶν ἐν τοῖς καθημένοις ἤδη κρίνεσθαι, κἂν ἐλεγχθῇς τι τὴν πόλιν ἀδικῶν, ἀποθνήσκειν ὑποτιμῶ. ἐὰν δὲ [οἱ] ἐγκαλέσαντες μὴ ἐπεξίωσιν, αὐτὸ τοῦτο χρὴ σημεῖον ποιεῖσθαι, διότι τὴν διαβολὴν ψευδῶς ἡμῶν κατήνεγκαν· οὐ γὰρ εἰκὸς εἶναι δόξει τοὺς ἀληθῶς ἐγκαλοῦντας μὴ βούλεσθαι κρίσιν λαβεῖν. ἀεὶ δὲ κατηγορεῖν χρὴ

---

4. αὐτῶν] αὗται libri. 6. οὖν om. M. 7. εἰς] ὑπὸ B. 9. ἀγνοῶ μὲν DV. 11. ἔχῃς τι] ἔχῃ τις EG. σεαυτοῦ DV, ἑαυτοῦ CFM. καὶ] καὶ ἢ CFM. Fort. ἢ. 13. τοὺς om. EG. γενέσθαι CFM. 14. μέλλει CM. 17. λέγειν CMprF, λέγω E. ἀτυχήμασι B. 18. ἤδη τῶν πραγμάτων CFM: τῶν πραγμάτων ἤδη ceteri. 19. διαβολὰς CFM: διαβολὴν ceteri. 20. ἐπίδειξος C. 22. ὑπὸ τιμῶ E. 23. οἱ om. CFM. 25. εἰκὸς om. ABDEG.

διαβολῆς, καὶ λέγειν ὡς δεινὸν καὶ κοινὸν καὶ πολλῶν κακῶν αἴτιον. ἐμφανιστέον δ' ὅτι καὶ πολλοὶ ἤδη διεφθάρησαν ἀδίκως διαβληθέντες. χρὴ δὲ καὶ διδάσκειν ὡς εὔηθές ἐστιν, ὑπὲρ τῶν κοινῶν βουλευομένους μὴ παρὰ πάντων τοὺς λόγους ἀκούοντας τὸ συμφέρον σκοπεῖν, ἀλλὰ ταῖς ἐνίων διαβολαῖς δυσχεραίνειν. δεῖ δὲ καὶ ἐπαγγέλλεσθαι [καὶ ὑπισχνεῖσθαι] δίκαια καὶ συμφέροντα καὶ καλὰ ἐπιδείξειν, ἃ ὑπέσχου συμβουλεύειν. τοὺς μὲν οὖν ἐκ τοῦ παροιχομένου χρόνου διαβεβλημένους τοῦτον τὸν τρόπον ἐν ταῖς δημηγορίαις τὰς διαβολὰς λυτέον. ἐκ δὲ τοῦ παρόντος χρόνου διαβαλεῖς τοὺς λέγοντας πρῶτον μὲν εἰς ἡλικίαν. ἐάν τε γὰρ νέος παντελῶς ἐάν τε πρεσβύτης δημηγορῇ, δυσχεραίνεται· τῷ μὲν γὰρ οὔπω ἦρχθαι, τῷ δὲ ἤδη πεπαῦσθαι προσήκειν οἴονται. ἔπειτα ἐὰν συνεχῶς εἰώθῃ λέγειν· πολυπράγμων γὰρ εἶναι δοκεῖ οὗτος. καὶ εἰ μηδέπω πρότερον εἰρήκει· καὶ γὰρ οὗτος ἕνεκά τινος ἰδίου δοκεῖ παρὰ τὸ ἔθος δημηγορεῖν. ἐκ μὲν οὖν τοῦ παρόντος χρόνου διαβολαὶ περὶ τὸν δημηγοροῦντα τοιαῦται γενήσονται. προφασίζεσθαι δὲ ὑπὲρ αὐτῶν δεῖ, τὸν μὲν νεώτερον ἐκ τῆς ἐρημίας τῶν συμβουλευόντων καὶ ἐκ τοῦ προσήκοντος τούτῳ, λέγω δ' οἷον ὑπὲρ λαμπαδαρχίας ἢ ὑπὲρ γυμνασίου ἢ ὑπὲρ ὅπλων ἢ ἵππων ἢ περὶ πολέμου· τούτων γὰρ οὐκ ἐλάχιστον μέρος τῷ νέῳ μέτεστιν. ῥητέον δὲ

---

4. ὑπὲρ] ὡς ὑπὲρ V. βουλευομένοις M. 7. καὶ ὑπισχνεῖσθαι om. CMprF. καὶ καλὰ om. CMprF, καλὰ B. Haec post δίκαια Bekkerus (ex V?). 8. ὑπέσχου CEFMV: ὑπέσχοντο ceteri. οὖν om. C. 11. διαβάλλειν DMV, διαβάλλει CF. πρῶτα ABE. 12. εἰς om. ACDEFGMV. εἰς ἡλικίαν] ἡλικία CFM. 13. δημηγορεῖν M. δυσχεραίνειν DV. 14. πεπαῦσθαι AM. προσήκειν post πεπαῦσθαι CM. συνεχῆ ABDEV. 15. εἰώθει CDFMV. γὰρ εἶναι om. CMprF. εἰ] ἐὰν CDFMV. 16. μηδέποτε CFM. τινας C. 18. χρόνου] χρόνου οὕτω τοι BEGrcA. αἱ διαβολαὶ E, διαβολαὶ G. τοιαῦται CDFMV: om. ceteri. 22. γυμνασίας D. περὶ om. CFM.

καὶ ὡς εἰ μήπω καθ' ἡλικίαν τὸ φρονεῖν, ἀλλὰ κατὰ φύσιν καὶ ἐπιμέλειαν. ἐμφανιστέον δὲ καὶ ὡς ἁμαρτόντι μὲν ἴδιον τὸ ἀτύχημα, κατορθώσαντι δὲ κοινὴ ἡ ὠφέλεια. τῷ μὲν οὖν νέῳ ἐκ τῶν τοιούτων προφασιστέον· γέροντι δὲ προφασιστέον λέγοντι ἔκ τε τῆς ἐρημίας τῶν συμβουλευόντων καὶ ἐκ τῆς εὐπορίας αὐτοῦ. πρὸς δὲ τούτοις καὶ ἐκ τοῦ μεγέθους καὶ ἐκ τῆς καινότητος τῶν κινδύνων καὶ ἐκ τῶν ἄλλων τῶν τοιούτων. τῷ δὲ λίαν εἰθισμένῳ ἐκ τῆς ἐμπειρίας καὶ ἐκ τοῦ αἰσχρὸν εἶναι πρότερον δὴ λέγοντα νῦν μὴ ἀποφαίνεσθαι γνώμας. τῷ δὲ μὴ εἰθισμένῳ ἔκ τε τοῦ μεγέθους τῶν κινδύνων καὶ ἐκ τοῦ ἀναγκαῖον εἶναι, πάντα τινὰ ᾧ τῆς πόλεως μέτεστιν, ὑπὲρ τῶν νῦν προκειμένων ἀποφαίνεσθαι γνώμην. τὰς μὲν οὖν περὶ αὐτὸν τὸν ἄνθρωπον διαβολὰς ἐν ταῖς δημηγορίαις ἐκ τῶν τοιούτων λύειν ἐπιχειρήσομεν. αἱ δὲ περὶ τὸ πρᾶγμα γίνονται μὲν ὅταν τις ἡσυχίαν πρὸς τοὺς μηδὲν ἀδικοῦντας ἢ [πρὸς] τοὺς κρείττονας συμβουλεύῃ ἢ εἰρήνην ποιεῖσθαι αἰσχράν, ἢ παραινῇ περὶ τὰς θυσίας μικρὰ συντελεῖν, ἤ τι τοιοῦτον εἰσηγῆται. δεῖ δὲ περὶ τῶν τοιούτων πρότερον μὲν πρὸς τοὺς ἀκροατὰς προκαταλήψει χρῆσθαι, ἔπειτα τὴν αἰτίαν εἰς τὴν ἀνάγκην καὶ τὴν τύχην καὶ τοὺς καιροὺς καὶ τὸ συμφέρον ἀναφέρειν, καὶ λέγειν ὡς οὐχ οἱ συμβουλεύοντες τῶν τοιούτων ἀλλὰ τὰ πράγματά ἐστιν αἴτια. καὶ τὰς μὲν περὶ τὸ πρᾶγμα διαβολὰς ἐκ τῶν τοιούτων ἀπὸ τῶν συμβουλευόντων ἀπάξομεν. ὁ δὲ λόγος ἐν ταῖς δημη-

---

1. καὶ om. EG. τὸ] τῶ E. φύσεως καὶ ἐπιμελείας C. 2. μὲν om. CFM. 4. γέροντι δὲ προφασιστέον om. CDFMV. 6. ἀπορίας corr. E. 8. ἐκ om. V. 9. τῶν αἰσχρῶν M. δὴ] δεῖ M. Fort. ἀεὶ. 10. νῦν μὴ] μὴ om. CDFV. ως εσθαι 12. πάντως DV, πάντα F. 13. ἀποφαίνεται M. αὐτῶν D. τῶν ἀνθρώπων DV. 15. ἐπιχειρήσομεν λύειν ABDEGV et Bekkerus. 16. μηδὲν] Fort. delendum. πρὸς om. CMprF. 17. συμβουλεύειν CM, συμβουλεύει Aldus. 18. παραινεῖ B. μακρὰ M. 20. προκαταλήψεις C.

γορίαις διαβάλλεται, ὅταν ἢ μακρὸς ἢ ἀρχαῖος ἢ ἄπιστος λέγηται. ἐὰν μὲν οὖν μακρὸς ᾖ, τὸ πλῆθος αἰτιατέον τῶν πραγμάτων, ἐὰν δὲ ἀρχαῖος, διδακτέον ὅτι νῦν καιρὸς αὐτοῦ εἴη, εἰ δὲ ἀπίθανος, ὑπισχνεῖσθαι δεῖ ὡς ἀληθῆ ἐπιδείξεις ἐπὶ τοῦ λόγου. τὰς μὲν οὖν δημηγορίας ἐκ τούτων καταστησόμεθα. τάξομεν δὲ πῶς; ἐὰν μὲν μηδεμίαν διαβολὴν ἔχωμεν μήτε αὐτοὶ μήτε ὁ λόγος μήτε τὸ πρᾶγμα, τὴν πρόθεσιν ἐν ἀρχῇ εὐθέως ἐκθήσομεν. ἐπὶ δὲ τὸ προσέχειν καὶ τοῦ λόγου εὐμενῶς ἀκούειν ὕστερον παρακαλέσομεν. ἐὰν δὲ διαβολή τις ᾖ τῶν προειρημένων περὶ ἡμᾶς, προκαταλαβόντες τοὺς ἀκροατὰς καὶ περὶ τῶν διαβολῶν τὰς ἀπολογίας καὶ τὰς προφάσεις συντόμως ἐνεγκόντες, οὕτω προθήσομεν καὶ τοὺς ἀκροατὰς ἐπὶ τὸ προσέχειν παρακαλέσομεν. τοῦτον μὲν οὖν τὸν τρόπον τὰς καταστάσεις τῶν δημηγοριῶν ποιητέον.

Μετὰ δὲ τοῦτο ἀναγκαῖον ἡμᾶς ἐστιν ἢ τὰς προγεγενημένας πράξεις ἀπαγγέλλειν ἢ ἀναμιμνήσκειν, ἢ τὰς νῦν οὔσας μερίζοντας δηλοῦν, ἢ τὰς μελλούσας γενήσεσθαι προλέγειν. ὅταν μὲν οὖν πρεσβείαν ἀπαγγέλλωμεν, πάντα δεῖ τὰ ῥηθέντα καθαρῶς διεξελθεῖν, ἵνα πρῶτον μὲν μέγεθος ὁ λόγος ἔχῃ· ἀπαγγελία γὰρ μόνον ἔσται ἡ τοιαύτη, καὶ οὐδὲν ἄλλο λόγου σχῆμα παρεμπεσεῖται. ἔπειθ' ὅπως, ἂν μὲν ἀποτετυχηκότες ὦμεν, μὴ διὰ τὴν ἡμετέραν ῥᾳθυμίαν οἱ ἀκούοντες οἴωνται διαμαρτάνειν τῆς πράξεως, ἀλλὰ δι' ἄλλην τινὰ αἰτίαν· ἂν δὲ ἐπιτύχωμεν, μὴ διὰ

---

1. ὅταν ἢ CM. 2. λέγεται C. μακρὸν E. 4. ἀπίθανον D. ὑπισχεῖσθαι C. 5. ἀποδείξεις E. 6. πῶς] Fort. ὧδε vel οὕτως. 7. ἔχωμεν M: ἔχοιμεν ceteri. 8. δὲ om. M. 9. ὕστερον] ἕτερον CM. 14. παρακαλέσωμεν M. οὖν om. CFM. 15. δημηγορικῶν F. 16. ἀναγκαῖον CFM: ἀνάγκη ceteri. 17. τάξεις B. ἀπαγγέλειν C. 18. μερίζοντας G: μερίζοντα ceteri. Fort. abundat. 19. πρεσβείας ABDEG. ἀπαγγέλομεν C. 20. δεῖ] δὴ C et Aldus. 22. παραπεσεῖται CF. 24. οἴονται CM. 25. αἰτίαν τινά C et Aldus.

τύχην ὑπολάβωσι τοῦτο γεγενῆσθαι, ἀλλὰ διὰ τὴν ἡμετέραν προθυμίαν. ταῦτα δὲ πιστεύουσιν, ἐπειδὴ τοῖς πράγμασιν οὐ παρεγένοντο πραττομένοις, ἐὰν ἐπὶ τοῦ λόγου τὴν προθυμίαν ἡμῶν θεωρῶσι μηδὲν παραλειπόντων, ἀλλ' ἀκριβῶς ἕκαστα ἀπαγγελλόντων. ὅταν μὲν οὖν πρεσβείαν ἀπαγγέλλωμεν, διὰ τὰς αἰτίας ταύτας ἕκαστα ὃν τρόπον ἐγένετο, ἀπαγγελτέον. ὅταν δὲ αὐτοὶ δημηγοροῦντες τῶν παρεληλυθότων τι διεξίωμεν ἢ [καὶ] τὰ παρόντα δηλῶμεν ἢ τὰ μέλλοντα προλέγωμεν, δεῖ τούτων ἕκαστον ποιεῖν βραχέως καὶ σαφῶς καὶ μὴ ἀπίστως. σαφῶς μέν, ὅπως καταμάθωσι τὰ λεγόμενα πράγματα, συντόμως δέ, ἵνα μνημονεύσωσι τὰ ῥηθέντα, πιστῶς δέ, ὅπως μὴ πρὸ τοῦ ταῖς πίστεσι καὶ ταῖς δικαιολογίαις βεβαιῶσαι τὸν λόγον ἡμᾶς τὰς ἐξηγήσεις ἡμῶν οἱ ἀκούοντες ἀποδοκιμάσωσιν. σαφῶς μὲν οὖν δηλώσομεν ἀπὸ τῶν ὀνομάτων ἢ ἀπὸ τῶν πραγμάτων. ἀπὸ μὲν οὖν τῶν πραγμάτων, ἐὰν μὴ ὑπερβατῶς αὐτὰ δηλῶμεν, ἀλλὰ τὰ πρῶτα πραχθέντα ἢ πραττόμενα ἢ πραχθησόμενα πρῶτα λέγωμεν, τὰ δὲ λοιπὰ ἐφεξῆς τάττωμεν, καὶ ἐὰν μὴ προαπολιπόντες τὴν πρᾶξιν, περὶ ἧς ἂν ἐγχειρήσωμεν λέγειν, πάλιν ἑτέραν ἐξαγγείλωμεν. ἀπὸ μὲν οὖν τῶν πραγμάτων σαφῶς οὕτως ἐροῦμεν. ἀπὸ δὲ τῶν ὀνομάτων, ἐὰν ὅτι μάλιστα τοῖς οἰκείοις τῶν πραγμάτων ὀνόμασι τὰς πράξεις προσαγορεύωμεν, καὶ ἐὰν τοῖς κοινοῖς, καὶ μὴ ὑπερβατῶς αὐτὰ τιθῶμεν, ἀλλ' ἀεὶ τὰ ἐχόμενα ἑξῆς τάττωμεν. σαφῶς μὲν οὖν δηλώσομεν ταῦτα

---

3. ἐὰν] ἐὰν δὲ **M et Aldus.** 4. παραλιπόντων **B.** 5. πρεσβείας **E.** 6. ἕκαστον **EG.** 8. διέξιμεν **CDFMV.** ἢ **om. M.** καὶ **om. Aldus.** 10. **Fort.** σαφῶς καὶ βραχέως. 11. καταμάθωσι] καταλαμβάνηται **CF,** καταλαμβάνεται **M.** μνημονεύωσι **ABEFV Bekkerus.** 14. οἱ **om. M.** 16. ἀπὸ μὲν οὖν τῶν πραγμάτων **om. CDFMVprA.** 18. τάττομεν **EG.** 19. πρᾶξιν **CFprM:** τάξιν **ceteri.** 20. ἐγχειρίσωμεν **A,** ἂν χειρίσωμεν **C.** πάλιν **CFM:** πρᾶξιν **Victorii codex,** δι' **ceteri.** ἑτέραν **CFM et Victorii codex:** ἑτέρων **ceteri.** ἐξαγγείλλωμεν **EFG (sic).** 22. τῶν πραγμάτων] **Fort.** τῷ πράγματι. 25. τάττομεν **M.**

διαφυλάττοντες. συντόμως δὲ ἐὰν ἀπὸ τῶν πραγμάτων καὶ τῶν ὀνομάτων περιαιρῶμεν τὰ μὴ ἀναγκαῖα ῥηθῆναι, ταῦτα μόνα καταλείποντες, ὧν ἀφαιρεθέντων ἀσαφὴς ἔσται ὁ λόγος. καὶ συντόμως μὲν τοῦτον τὸν τρόπον δηλώσομεν. οὐκ ἀπίστως δὲ ἂν περὶ τὰς ἀπιθάνους πράξεις αἰτίας φέρωμεν, παρ' ἃς εἰκότως τὰ λεγόμενα δόξει πραχθῆναι. ὅσα δ' ἂν λίαν ἄπιστα συμβαίνῃ, δεῖ παραλείπειν. ἐὰν δὲ ἀναγκαῖον ᾖ λέγειν, εἰδότα δεῖ φαίνεσθαι, καὶ ἐπιπλέξαντα αὐτὰ τῷ τῆς παραλείψεως σχήματι ὑπερβάλλεσθαι, καὶ προϊόντος τοῦ λόγου ἐπιδείξειν ἀληθῆ ὑπισχνεῖσθαι, προφασισάμενον ὅτι τὰ προειρημένα πρῶτον βούλει ἀποδεῖξαι ἀληθῆ ὄντα καὶ δίκαια ἤ τι τῶν τοιούτων. καὶ τοῦτον μὲν τὸν τρόπον τὰς ἀπιστίας ἰασόμεθα. συλλήβδην δὲ τὰς ἀπαγγελίας καὶ τὰς δηλώσεις καὶ τὰς προρρήσεις ἐξ ἁπάντων τῶν εἰρημένων σαφεῖς καὶ βραχείας καὶ οὐκ ἀπίστους ποιήσομεν.

Τάξομεν δὲ αὐτὰς διὰ τριῶν τρόπων. ὅταν μὲν γὰρ 31
ὦσιν ὀλίγα τὰ πράγματα περὶ ὧν λέγομεν, καὶ γνώριμα τοῖς ἀκούουσι, τῷ προοιμίῳ συνάψομεν, ἵνα μὴ βραχὺ τοῦτο τὸ μέρος καθ' ἑαυτὸ τεθὲν γένηται. ὅταν δὲ λίαν ὦσιν αἱ πράξεις πολλαὶ καὶ μὴ γνώριμοι, παρ' ἕκαστον συναπτὰς ποιήσομεν, καὶ δικαίας καὶ συμφερούσας καὶ καλὰς ἀποφανοῦμεν, ἵνα μὴ μόνον πραγματολογοῦντες ἁπλοῦν τὸν λόγον καὶ μὴ ποικίλον ποιῶμεν, ἀλλὰ καὶ τῶν ἀκουόντων τὰς διανοίας ἀναλαμβάνωμεν. ἂν δ' ὦσιν αἱ

---

1. ἂν AE. 3. καταλιπόντες DV. σαφὴς V. 4. δηλώσωμεν C. 6. φέρομεν C. 7. λίαν] λέγειν M et marg. Venet. συμβαίνῃ FM: συμβαίνοι ceteri. 8. ἐπιλέξαντα G. 9. παραλήψεως BCM. ὑπερβάλλεσθαι M: ὑπερβαλέσθαι ceteri. 10. ἀληθῆ] ἀληθὲς libri. ὑπισχεῖσθαι C. 11. προειμένα V. 12. καὶ δίκ. CFM: ἢ δίκ. ceteri. 13. ἰασάμεθα CM. 15. οὐκ om. M. 18. τὰ πράγματα CFM: δράματα ceteri. 19. συνάψωμεν C. 20. ἑαυτῷ D, αὐτὸ Aldus. 21. μὴ om. ABEGV. 24. ποιοῦμεν M. 25. δ'] γὰρ DV, δὲ AE.

πράξεις μέτριαι καὶ ἀγνοούμεναι, τὴν ἀπαγγελίαν ἢ τὴν δήλωσιν ἢ τὴν πρόῤῥησιν ἐπὶ τῷ φροιμίῳ δεῖ σωματοειδῆ τάττειν. τοῦτο δὲ ποιήσομεν, ἐὰν ἀπὸ τῆς ἀρχῆς τῶν πραγμάτων ἐπὶ τὸ τέλος διέλθωμεν, μηδὲν ἄλλο συμπεριλαμβάνοντες, ἀλλ᾽ ἢ τὰς πράξεις αὐτὰς ψιλὰς φράζοντες. καὶ τὰς μὲν διηγήσεις ἐπὶ τοῖς προοιμίοις ὡς δεῖ τάττειν, οὕτως εἰσόμεθα.

32 Μετὰ δὲ ταύτας ἐστὶ βεβαίωσις, δι᾽ ἧς τὰς προειρημένας πράξεις ἐκ τῶν πίστεων καὶ τῶν δικαίων καὶ τῶν συμφερόντων, οἵας ὑπεθέμεθα δείξειν, βεβαιώσομεν. ὅταν μὲν οὖν συναπτὰς ποιῇς, οἰκειόταται ταῖς δημηγορίαις εἰσὶ πίστεις τά τε τῶν πραγμάτων ἤθη καὶ τὰ παραδείγματα καὶ τὰ ἐπενθυμήματα καὶ ἡ δόξα τοῦ λέγοντος. χρηστέον δὲ καὶ ἄν τις τῶν ἄλλων πίστεων παρεμπέσῃ. τάττειν δὲ αὐτὰς ὧδε δεῖ· πρῶτον μὲν τὴν τοῦ λέγοντος δόξαν, εἰ δὲ μή, τὰ τῶν πραγμάτων ἤθη, [δεικνύντας] ὅτι ταῦθ᾽ ἃ λέγομεν ἢ τὰ τούτοις ὅμοια, οὕτως εἴθισται γίνεσθαι. ἐπὶ δὲ τούτοις παραδείγματα οἰστέον, καὶ εἰ ὁμοιότης τίς ἐστι, πρὸς τὰ ὑφ᾽ ἡμῶν λεγόμενα προσακτέον. λαμβάνειν δὲ δεῖ τὰ παραδείγματα οἰκεῖα τῷ πράγματι, καὶ τὰ ἐγγύτατα τοῖς ἀκούουσι χρόνῳ ἢ τόπῳ. ἐὰν δὲ μὴ ὑπάρχῃ τοιαῦτα, τῶν ἄλλων τὰ μέγιστα καὶ γνωριμώτατα. μετὰ δὲ ταῦτα γνωμολογητέον. δεῖ δὲ καὶ περὶ τὰ μέρη τῶν εἰκότων καὶ τῶν παραδειγμάτων ἐπὶ τελευτῆς ἐνθυμηματώδεις καὶ γνω-

---

2. δὴ C. 4. Fort. συμπαραλαμβάνοντας. 5. ἀλλ᾽ ἢ] ἀλλὰ CFM. 8. ταύτας CF: ταῦτα ceteri. ἐστι βεβαίωσις CM: βεβαίωσις F, ἐπὶ βεβαιώσει DV, ἐπιβεβαιώσεις ceteri. ἧς CFM: ὧν ceteri. τὰς] εἰς τὰς M. 10. δεῖξαι EG. 11. ποιῇς] δεῖ ποιεῖν CFM, ποιεῖς Aldus. 12. γε ABE. καὶ παραδείγματα EG. 13. ἐπενθυμήματα] Fort. ἐνθυμήματα. 14. παρεμπέσει M. 15. ὧδε] ὡς CFMV. μὲν] μὲν οὖν Victorii codex. 16. δεικνύντας om. CMprF. 17. οὕτως] τούτοις CMprF. 18. εἰ om. M. ὁμοιότης τις] ὁμοιότατα CprF, ὁμοιότητα M. Fort. καὶ ὁμοιότητα πρὸς. 19. τακτέον προσλαμβάνειν DV. 22. δὲ ταῦτα BCFM: δὲ om. ceteri. 23. περὶ om. prA. μέρους C.

μολογικὰς τὰς τελευτὰς ποιεῖσθαι. καὶ τὰς μὲν πίστεις οὕτως ἐπὶ ταῖς πράξεσι προσακτέον. ἐὰν δὲ πιστεύηται τὰ πράγματα εὐθέως ῥηθέντα, τὰς μὲν πίστεις παραλειπτέον, τῷ δὲ δικαίῳ καὶ τῷ νομίμῳ καὶ τῷ συμφέροντι καὶ τῷ καλῷ καὶ τῷ ἡδεῖ καὶ τῷ ῥᾳδίῳ καὶ τῷ δυνατῷ καὶ τῷ ἀναγκαίῳ τὰς προειρημένας πράξεις βεβαιωτέον. καὶ εἰ μὲν ὑπάρχει, πρῶτον τὸ δίκαιον τακτέον, διεξιόντας διὰ τούτου τε τοῦ δικαίου καὶ τοῦ ὁμοίου τῷ δικαίῳ καὶ τοῦ ἐναντίου καὶ τοῦ κεκριμένου δικαίου. δεῖ δὲ καὶ τὰ παραδείγματα τοῖς ὑπό σου λεγομένοις δικαίοις ὅμοια φέρειν. πολλὰ δὲ ἕξεις λέγειν ἔκ τε τῶν ἰδίᾳ παρ᾽ ἑκάστοις δικαίων ὑπολαμβανομένων, καὶ ἐκ τῶν ἐν αὐτῇ τῇ πόλει ἐν ᾗ λέγεις, καὶ ἐκ τῶν ἐν ταῖς ἄλλαις πόλεσιν. ὅταν δὲ ἅπαντα τοῦτον τὸν τρόπον μετιόντες διέλθωμεν, ἐπὶ τελευτῆς αὐτοῦ γνώμας καὶ ἐνθυμήματα μέτρια καὶ ἀλλήλοις ἀνόμοια ἐνεγκόντες, ἐὰν μὲν μακρὸν ᾖ τὸ μέρος καὶ βουλώμεθα μνημονεύεσθαι, συντόμως παλιλλογήσομεν· ἐὰν δὲ μέτριον ᾖ καὶ μνημονεύηται, αὐτὸ τὸ μέρος ὁρισάμενοι πάλιν ἕτερον προθησόμεθα. ἔστι δὲ ὃ λέγω τοιόνδε· ὡς μὲν δίκαιόν ἐστιν ἡμᾶς βοηθεῖν Συρακουσίοις, ἐκ τῶν εἰρημένων ἱκανῶς ἀποδεδεῖχθαι νομίζω· ὡς δὲ καὶ συμφέρει ταῦτα πράττειν, ἐπιχειρήσω διδάσκειν. πάλιν δὲ περὶ τοῦ συμφέροντος ὁμοιοτρόπως τοῖς προειρημένοις ἐπὶ τοῦ δικαίου μετιών, καὶ ἐπὶ τῇ τελευτῇ τοῦ μέρους ἢ παλιλλογίαν ἢ ὁρισμὸν ἐπιθεὶς, πάλιν ἕτερον ὅ τι ἂν ὑπάρχῃ [σοι] προτίθει. τοῦτον δὲ τὸν τρόπον ἄλλο ἄλλῳ συνάπτειν μέρει

---

2. προτακτέον **EG et Aldus.** 3. παραληπτέον **V.** 4. καὶ τῷ νομίμῳ — καλῷ **om. CMprF.** 7. ὑπάρχοι **D.** 8. τε] τὸ **DV.** 11. λέγειν **om. CFM.** 14. αὐτοῖς **C.** 16. ἂν **DFM.** καὶ **om. M.** βουλόμεθα **CM.** 17. παλιλογήσωμεν **CF.** 19. πορισόμεθα **C.** 20. συῤῥακουσίοις **BMV.** ἱκανῶς] ἴσμεν ὡς **ABDEGV.** 21. ἐπιδεδεῖχθαι **CFM.** 24. τοῦ] **Fort.** τούτου τοῦ. ἢ παλ.] καὶ παλ. **M.** 25. ὅ τι **om. M.** ὑπάρχει **CM.** σοι **om. M.** προστίθει **EGrcA.** 26. τοῦτον δὲ] τόνδε **CMprF. Fort.** τοῦτον μὲν οὖν. **Fort.** σύναπτε μέρει καὶ συνύφαινε.

καὶ συνυφαίνειν τὸν λόγον. ὅταν δὲ πάντα διεξέλθῃς, ἐξ ὧν ἐνδέχεταί σοι βεβαιῶσαι τὴν προτροπήν, ἐπὶ τούτοις ἅπασι κεφαλαιωδῶς μετὰ ἐνθυμημάτων καὶ γνωμῶν ἢ σχημάτων δείκνυε, ὡς ἄδικον καὶ ἀσύμφορον καὶ αἰσχρὸν καὶ ἀηδὲς μὴ ποιεῖν ταῦτα, καὶ ἀντιτίθει κεφαλαιωδῶς, ὡς δίκαιον καὶ συμφέρον καὶ καλὸν καὶ ἡδὺ πράττειν ἐφ' ἃ παρακαλεῖς. ὅταν δὲ ἱκανῶς ἤδη ᾖς ἐγνωμολογηκώς, τὴν προτροπὴν πέρατι ὅρισαι. καὶ τοῦτον μὲν τὸν τρόπον βεβαιώσομεν τὰ προτεθέντα, μετὰ δὲ τοῦτο τὸ μέρος λέξομεν τὴν προκατάληψιν.

33 Αὕτη δέ ἐστι δι' ἧς τὰς ἐνδεχομένας ἀντιλογίας ῥηθῆναι τοῖς ὑπό σου εἰρημένοις προκαταλαμβάνων διασύρεις. δεῖ δὲ τὰ μὲν ἐκείνων μικρὰ ποιεῖν, τὰ δὲ σαυτοῦ αὔξειν, ὡς ἐν ταῖς αὐξήσεσι προακήκοας. χρὴ δὲ παρατιθέναι καὶ ἓν πρὸς ἕν, ὅταν τὸ σὸν μεῖζον ᾖ, καὶ πρὸς πλείω πλείω, καὶ ἓν πρὸς πολλά, καὶ πολλὰ πρὸς ἕν, διαλλάττοντα κατὰ πάντας τοὺς τρόπους, τὰ μὲν σαυτοῦ αὔξοντα, τὰ δὲ τῶν ἐναντίων ἀσθενῆ καὶ μικρὰ ποιοῦντα. καὶ τοῦτον μὲν τὸν τρόπον ταῖς προκαταλήψεσι χρησόμεθα. ταῦτα δὲ διελθόντες ἐπὶ τελευτῇ παλιλλογήσομεν τὰ προειρημένα σχήματα διαλογισμοῦ λαβόντες ἢ ἀπολογισμοῦ ἢ προαιρέσεως ἢ ἐξ ἐπερωτήσεως ἢ εἰρωνείας.

34 Ἐὰν δὲ ἐπὶ τὸ βοηθεῖν τισι προτρέπωμεν ἢ ἰδιώταις ἢ πόλεσιν, ἁρμόσει συντόμως εἰπεῖν καὶ εἴ τις προϋπάρχει τούτοις πρὸς τοὺς ἐκκλησιάζοντας φιλία ἢ χάρις ἢ ἔλεος· μάλιστα γὰρ τοῖς οὕτω διακειμένοις ἐθέλουσιν ἐπαμύνειν.

---

1. διέλθοις CM, διέλθῃς D et Aldus. 4. ἀσύμφορον] ἀσύμφωνον EG. 6. ἡδὺ καὶ καλὸν ABEG. 7. ἤδη om. B. ἐγνωκὼς EG. 8. ὅρισαι V. μὲν τὸν — τοῦτο om. prE. 15. πρὸς ἑνὸς ὅταν V. 17. τὰ μὲν σαυτοῦ] καὶ τὰ μὲν ἡμέτερα CDFMV. τὰ — αὔξοντα om. prA. 19. μὲν om. AEG. 20. δὲ om. F. 21. Fort. σχῆμα. διὰ λογισμοῦ BC. ἀπὸ λογισμοῦ C. Fort. ἢ ἐκ προαιρέσεως. 24. προϋπάρχει] Fort. ὑπάρχει. 26. ἐπαμύνειν] ἀναμένειν prF.

φιλοῦσι μὲν οὖν πάντες ὑφ' ὧν οἴονται κατὰ τὸ προσῆκον εὖ πεπονθέναι ἢ πάσχειν ἢ πείσεσθαι ἢ ὑπ' αὐτῶν ἢ τῶν φίλων, ἢ αὐτοὶ ἢ ὧν κηδόμενοι τυγχάνουσιν. χάριν δ' ἔχουσι τούτοις ὑφ' ὧν οἴονται παρὰ τὸ προσῆκον ἀγαθόν τι πεπονθέναι ἢ πάσχειν ἢ πείσεσθαι, ἢ ὑπ' αὐτῶν ἢ τῶν φίλων, ἢ αὐτοὶ ἢ ὧν κηδόμενοι τυγχάνουσιν. τούτων μὲν οὖν ἄν τι ἐνῇ, χρὴ συντόμως διδάσκειν, καὶ ἐπὶ τὸν ἔλεον ἄγειν. εὐπορήσομεν δὲ ἐλεεινὰ ποιεῖν ἅπερ ἂν ἐθέλωμεν, ἐὰν συνειδῶμεν, ὅτι πάντες ἐλεοῦσι τούτους οὓς οἰκείως ἔχειν αὐτοῖς ὑπειλήφασιν ἢ οἴονται ἀναξίους εἶναι δυστυχεῖν. δεῖ δὴ ταῦτα ἀποφαίνειν ἔχοντας οὓς ἐθέλεις ἐλεεινοὺς ποιεῖν, καὶ ἐπιδεικνύειν αὐτοὺς ἢ κακῶς πεπονθότας ἢ πάσχοντας ἢ πεισομένους, ἐὰν μὴ οἱ ἀκούοντες αὐτοῖς βοηθῶσιν. ἐὰν δὲ ταῦτα μὴ ἐνῇ, δεικτέον ὑπὲρ ὧν λέγεις ἀγαθῶν ἐστερημένους, ὧν τοῖς ἄλλοις ἅπασιν ἢ τοῖς πλείστοις μέτεστιν, ἢ ἀγαθοῦ μηδέποτε τετυχηκότας ἢ μὴ τυγχάνοντας ἢ μὴ τευξομένους, ἐὰν μὴ νῦν οἱ ἀκούοντες οἰκτείρωσιν. ἐκ τούτων μὲν οὖν ἐπὶ τὸν ἔλεον ἄξομεν.

Τὰς δὲ ἀποτροπὰς ἐκ τῶν ἐναντίων τούτοις ποιήσομεν, τὸν αὐτὸν τρόπον φροιμιαζόμενοι καὶ τὰ πράγματα διεξιόντες, ταῖς τε πίστεσι χρώμενοι, καὶ τοῖς ἀκούουσι δεικνύντες, ὡς ἐστιν ἃ πράττειν ἐπιχειροῦσιν, ἄνομα καὶ ἄδικα καὶ ἀσύμφορα καὶ αἰσχρὰ καὶ ἀηδῆ καὶ ἀδύνατα καὶ

---

1. οὖν om. CM. 3. τυγχάνουσιν] τυγχάνουσιν, εὐχάριστοι δ' εἰσὶν οὓς ἡγοῦνται κατὰ τὸ προσῆκον ἀγαθόν τι συνεισενεγκεῖν ἢ συνεισφέρειν ἢ συνεισοίσειν, ἢ αὐτοὺς ἢ τοὺς ἐκείνων φίλους, ἢ αὐτοῖς ἢ τοῖς ἑαυτῶν ἐπιτηδείοις BmgA. χάριν δ' — τυγχάνουσι om. EG et Aldus. 4. προσήκων C. 7. τι ἐνῇ] τιν' ἧ DV, τι ἐν ἧ C, τι ἓν ἧ FM. 9. ἐὰν] ἐὰν δὲ M. συνείδομεν C, συνίδωμεν V. 11. δὴ] δὲ BCFM. 12. ἐπιδεικνύναι Aldus. 14. ἐνῇ Bekkerus: ἔνι codices. 19. τὰς δὲ — ποιήσομεν om. prE. προτροπὰς CFM. τούτοις om. DFMV. 20. αὐτὸν] αὐτὸν δὲ DV. προοιμιαζόμενοι Aldus. 21. τε om. M. δεικνύοντες M. 22. ἄνομον B.

ἐργώδη καὶ οὐκ ἀναγκαῖα. ἡ δὲ τάξις ὁμοιοτρόπως ἔσται, οἵα καὶ τῷ προτρέποντι.

Τοῖς μὲν οὖν καθ' αὑτοὺς ἀποτρέπουσιν οὕτω τὰς τάξεις ποιητέον, τοὺς δὲ πρὸς τὰς ὑφ' ἑτέρων εἰρημένας προτροπὰς ἀντιλέγοντας πρῶτον μὲν ἐν τῷ προοιμίῳ δεῖ, οἷς μέλλουσιν ἀντιλέγειν, προθέσθαι, τὰ δ' ἄλλα καθ' αὑτὰ προοιμιάζεσθαι. μετὰ δὲ τὰ προοίμια μάλιστα μὲν ἕκαστα τῶν προειρημένων καθ' ἓν ἕκαστον προτιθέμενον ἐπιδεικνύειν, ὡς οὐκ ἔστι δίκαια οὐδὲ νόμιμα οὐδὲ συμφέροντα οὐδὲ τούτοις ἀκόλουθα, ἐφ' ἃ παρακαλεῖ ὁ ἐναντίος. τοῦτο δὲ ποιήσεις ἀποφαίνων ἢ ἄδικα ὄντα ἃ λέγει ἢ ἀσύμφορα ἢ τούτοις ὅμοια ἢ ἐναντία τοῖς δικαίοις καὶ τοῖς συμφέρουσι καὶ τοῖς κεκριμένοις εἶναι τοιούτοις. ὁμοιοτρόπως δὲ καὶ τῶν ἄλλων τὰ ὑπάρχοντα μέτιθι. κράτιστος μὲν οὖν ὁ τρόπος τῆς ἀποτροπῆς οὗτός ἐστιν· ἐὰν δὲ μὴ ἐνδέχηται τοῦτο ποιεῖν, ἐκ τοῦ παραλελειμμένου τρόπου ἀπότρεπε λέγων, οἷον ἐὰν ὁ ἐναντίος δίκαιον ἀποφήνῃ, σὺ ἐπιχείρει δεικνύναι ὡς ἐστιν αἰσχρὸν ἢ ἀσύμφορον ἢ ἐργώδες ἢ ἀδύνατον ἢ ὅ τι ἂν ἔχῃς τοιοῦτον. ἐὰν δὲ ἐκεῖνος ἔχῃ τὸ συμφέρον, σὺ ἐπιδείκνυε ὡς ἄδικον κἄν τι ἄλλο ἔχῃς πρὸς τούτῳ. δεῖ δὲ καὶ τὰ μὲν αὐτοῦ αὔξειν, τὰ δὲ τοὐναντίου ταπεινοῦν, ποιοῦντα ὡς ἐν τῷ προτρεπτικῷ εἴρηται. χρὴ δὲ καὶ γνώμας φέρειν καὶ ἐνθυμήματα καθάπερ ἐκεῖσε, καὶ τὰς προκαταλήψεις λύειν καὶ ἐπὶ τῇ τελευτῇ παλιλλογεῖν. πρὸς δὲ τούτοις ἐν μὲν ταῖς προτροπαῖς ἀποφαίνειν ἢ φιλίαν ὑπάρχουσαν, οἷς βοηθεῖν

---

1. ὁμοιοτρόπως] **Fort.** ὁμοιότροπος. 2. τρέποντι **prA**, πρέποντι **BDV**. 5. δεῖ] δι' **E**. 6. θέσθαι **EG**. 8. **Fort.** προτιθεμένους. 13. εἶναι **CFM**: **om. ceteri.** τοιούτοις] εὖ τούτοις **DV**. 16. παραλελειμένου **E**. 18. δεικνύειν **F**. ἀσύμφωνον **EG**. 21. **Fort.** σαυτοῦ. 22. τοὐναντίου **Bekkerus (ex BV?)**: τοῦ ἐναντίου **nostri**. 24. **Fort.** ἐκεῖ. 25. τῇ **om. ABDEGV**. 26. ἢ φιλίαν **CFM**: λίαν **E**, φιλίαν **ceteri**. ὑπάρχουσαν] ὑπάρχειν **libri**.

προτρέπομεν [πρὸς τοὺς προτρεπομένους], ἢ χάριν τοὺς προτρεπομένους ὀφείλοντας ἔχειν τοῖς δεομένοις· οἷς δ' οὐκ ἐῶμεν βοηθεῖν, ἢ ὀργῆς ἢ φθόνου ἢ ἔχθρας ἀξίους ὑπάρχοντας. ἔχθραν μὲν οὖν ἐμποιήσομεν, ὑπ' ἐκείνων οὐ προσηκόντως τοὺς ἀποτρεπομένους ἀποφαίνοντες κακῶς πεπονθότας ἢ τῶν φίλων, ἢ αὐτοὺς ἢ ὧν κηδόμενοι τυγχάνουσιν. ὀργὴν δὲ ἐὰν ἐπιδεικνύωμεν παρὰ τὸ προσῆκον ὠλιγωρημένους ἢ ἠδικημένους ἢ τῶν φίλων ἐκείνοις, ἢ αὐτοὺς ἢ ὧν κηδόμενοι τυγχάνουσιν αὐτοί. φθόνον δὲ παρασκευάσομεν συλλήβδην πρὸς τούτους, οὓς ἀποφαίνομεν ἀναξίως εὖ πεπραχότας ἢ πράττοντας ἢ πράξοντας, ἢ ἀγαθοῦ μηδέποτε ἐστερημένους ἢ μὴ στερουμένους ἢ μὴ στερησομένους, ἢ κακοῦ μηδέποτε τετυχηκότας ἢ μὴ τυγχάνοντας ἢ μὴ τευξομένους. φθόνον μὲν οὖν καὶ ἔχθραν καὶ ὀργὴν τοῦτον τὸν τρόπον ἐμποιήσομεν, φιλίαν δὲ καὶ χάριν καὶ ἔλεον ἐκ τῶν ἐν ταῖς προτροπαῖς· συνθήσομεν δὲ καὶ τάξομεν ἐξ ἁπάντων τῶν προειρημένων αὐτὰς τόνδε τὸν τρόπον. τὸ μὲν οὖν προτρεπτικὸν εἶδος αὐτό τε ἴσμεν οἷόν ἐστι, καὶ ἐξ ὧν συνέστηκε, καὶ ὡς αὐτῷ χρηστέον.

---

1. προτρέπομεν] προτρέπεται **M**, προτρεπομένους **C**. προτρέπομεν — βοηθεῖν **om. prE**. πρὸς τοὺς προτρεπομένους **om. CprF**. ἢ **CF**: **om. M**, καὶ **ceteri**. χάριν τοὺς προτρεπομένους ὀφείλοντας **CFM**: ὀφείλοντας χάριν **ceteri**. 5. κακῶς πεπονθότας ἀποφαίνοντες **F**, κακῶς ἀποφαίνοντες **C**. 6. ἢ] **Fort.** ἢ ὑπ' αὐτῶν ἢ. τυγχάνωμεν **M**, τυγχάνομεν **F**, ὑπάρχουσιν **γρB**. 7. ἂν **ABDEG**. ἐπιδεικνύομεν **C**. 8. ἀδικημένους **M**. τῶν φίλων] τοὺς φίλους **Aldus. Fort.** ἢ ὑπ' αὐτῶν ἢ τῶν φίλων. ἐκείνοις **CFM**: ἐκείνων **ceteri. Fort. delendum.** 9. αὐτοὶ **abundat.** 12. ἢ μὴ στερουμένους **om. EG**. μὴ **ante** στερουμένους **om. DMVprA**. στερουμένους ἢ **om. prF**. 13. κακῶν **CDFMV**. μηδέποτε τυχηκότας **E**. 14. μὴ **CEFG**: μηδὲ **ceteri**. 17. δὲ **om. AEG**. αὐτὰς τόνδε τὸν τρόπον] **Fort. delenda**. 18. τὸ] τό τε **EG**. προτρεπτικὸν] **Fort.** προτρεπτικὸν καὶ τὸ ἀποτρεπτικόν. 19. συνεστήκει **CF et Aldus**.

35 Τὸ δὲ ἐγκωμιαστικὸν καὶ τὸ κακολογικὸν πάλιν προ-
θέμενοι σκοπῶμεν. φροιμιαστέον οὖν καὶ περὶ τούτων
πρῶτον προθεμένους τὰς προθέσεις, καὶ τὰς διαβολὰς
ἀπολύομεν ὁμοίως, ὥσπερ ἐν τοῖς προτρεπτικοῖς. ἐπὶ τὸ
προσέχειν δὲ παρακαλοῦμεν ἔκ τε τῶν ἄλλων τῶν ἐν ταῖς
δημηγορίαις εἰρημένων, καὶ ἐκ τοῦ θαυμαστὰ καὶ περι-
φανῆ φάσκειν, καὶ αὐτὸν ἴσα καὶ τοὺς ἐγκωμιαζομένους
καὶ τοὺς ψεγομένους ἀποφαίνειν πεπραγότας· ὡς γὰρ
ἐπιτοπολὺ τῶν τοιούτων εἰδῶν οὐκ ἀγῶνος ἀλλ' ἐπιδείξεως
ἕνεκα λέγομεν. τάξομεν δὲ πρῶτον τὰ προοίμια τὸν αὐτὸν
τρόπον ὅνπερ ἐπὶ τῶν προτροπῶν καὶ ἀποτροπῶν. μετὰ
δὲ τὸ προοίμιον δεῖ διελόμενον τὰ ἔξω τῆς ἀρετῆς ἀγαθὰ
καὶ τὰ ἐν αὐτῇ τῇ ἀρετῇ ὄντα ποιεῖν οὕτω· τὰ μὲν [οὖν]
ἔξω τῆς ἀρετῆς εἰς εὐγένειαν καὶ ῥώμην καὶ κάλλος καὶ
πλοῦτον, τὴν δ' ἀρετὴν εἰς σοφίαν καὶ δικαιοσύνην καὶ
ἀνδρείαν καὶ ἐπιτηδεύματα ἔνδοξα. τούτων δὲ τὰ μὲν τῆς
ἀρετῆς δικαίως ἐγκωμιάζεται, τὰ δ' ἔξω κλέπτεται· τοὺς
γὰρ ἰσχυροὺς καὶ τοὺς καλοὺς καὶ τοὺς εὐγενεῖς καὶ τοὺς
πλουσίους οὐκ ἐπαινεῖν ἀλλὰ μακαρίζειν προσήκει. ταῦτα
δὴ διαλογισάμενοι μετὰ τὰ προοίμια πρώτην τὴν γενεαλο-
γίαν τάξομεν· πρῶτον γὰρ τοῖς ἀνθρώποις καὶ τοῖς ἄλλοις
ζῴοις τοῦθ' ὑπάρχει ἔνδοξον ἢ ἄδοξον. τοιγαροῦν τὸν μὲν

---

1. καταλογικὸν **DFMV**. προιέμενοι **CFM**. 3. προθέμενους **D**, προθέμενοι **CFM**, θέμενοι **V**. καὶ] εἰ **M**. 4. τὸ προσέχειν δὲ **CFM**: δὲ τὸ προσέχειν **ceteri**. 6. διαφανῆ **CFM**. 7. αὐτὸν **AE. Fort.** αὐτοὺς. ἴσον **CFM**. 8. πεπραχότας **prG**. ὡς] ὥσπερ **V**. 9. ἀλλ' **om. M**. 10. πρῶτα **AB**. 11. προτροπῶν] τροπῶν **G**. 13. τὰ ἐν **CFM et Aldus**: τὰ **om. ceteri**. οὕτως **DEFGM**. οὖν **om. CFM**. 14. εὐσθένειαν **CDFMV**. 15. **Fort.** δικαιοσύνην καὶ σοφίαν. 16. ἀνδρίαν **ADE**. ἐπιτηδευμάτων **B et Aldus**. δὲ] δὲ καὶ **M**. 18. γὰρ] δὲ **EG. Fort.** τοὺς γὰρ εὐγενεῖς καὶ τοὺς ἰσχυροὺς καὶ τοὺς καλούς. 20. λογιζόμενοι **EG**, λογισάμενοι **Aldus**. πρῶτον **CDFMV**. 21. καὶ] ἢ **M**. 22. ὑπάρχει **CDFV**: ὑπάρχειν **ceteri**.

ἄνθρωπον ἤ τι ἄλλο τοιοῦτον ζῷον εὐλόγως γενεαλογήσομεν. ὅταν δὲ πάθος ἢ πρᾶγμα ἢ λόγον ἢ κτῆμα, ἀπ' αὐτῶν εὐθὺς τῶν προσόντων ἐνδόξων ἐπαινέσομεν. γενεαλογεῖν δὲ ὧδε δεῖ· ἐὰν μὲν ὦσιν οἱ πρόγονοι σπουδαῖοι, πάντας ἐξ ἀρχῆς ἀναλαβόντες μέχρι πρὸς τὸν ἐγκωμιαζόμενον ἐφ' ἑκάστῳ τῶν προγόνων κεφαλαιωδῶς ἔνδοξόν τι περιτιθέναι. ἐὰν δὲ οἱ πρῶτοι μὲν ὦσι σπουδαῖοι, τοὺς δὲ λοιποὺς συμβέβηκε μηδὲν ἀξιόλογον πρᾶξαι, τοὺς μὲν πρώτους τὸν αὐτὸν τρόπον διελθεῖν, τοὺς δὲ φαύλους παραλιπεῖν, προφασισάμενον ὅτι διὰ πλῆθος τῶν προγόνων οὐ θέλεις λέγων αὐτοὺς μακρολογεῖν, ἔτι δὲ οὐκ ἄδηλον εἶναι πᾶσιν, ὅτι τοὺς ἐξ ἀγαθῶν γενομένους εἰκός ἐστι τοῖς προγόνοις ὁμοιοῦσθαι. ἐὰν δὲ οἱ παλαιοὶ πρόγονοι φαῦλοι τυγχάνωσιν ὄντες, οἱ δὲ πρὸς αὐτὸν ἔνδοξοι, τούτοις δεῖ γενεαλογεῖν, καὶ λέγειν ὅτι περὶ μὲν ἐκείνων περὶ ἔργον ἂν εἴη μακρολογεῖν, τοὺς δὲ πλησίον γεγονότας τῶν ἐπαινουμένων, τούτους ὄντας ἀγαθοὺς ἐπιδείξειν· καὶ δῆλον, ὡς οἵ γε τούτων πρόγονοι σπουδαῖοί τινες ἦσαν· οὐ γὰρ εἰκὸς φανῆναι τοὺς τοιούτους καλοὺς ἢ ἀγαθοὺς εἶναι ἐκ μοχθηρῶν προγεγονότας. ἐὰν δὲ μηδὲν ἀπὸ τῶν προγόνων ἔνδοξον ὑπάρχῃ, λέγε ὡς αὐτός ἐστι γενναῖος, συμβιβάζων ὡς εὖ γεγόνασι πάντες οἱ πρὸς τὴν ἀρετὴν εὖ πεφυκότες. ἐπιτιμᾷν δὲ καὶ τοῖς ἄλλοις, ὅσοι τοὺς προγόνους ἐπαινοῦσι, λέγων ὅτι πολλοὶ προγόνων ἐνδόξων

---

1. τι] τοι **AE**. τοιοῦτο **BEG Bekkerus**. ζῶον τοιοῦτον **D**. γενεαλογίσομεν **EG**. 2. ὅταν] **Fort.** τὸ. 3. εὐθὺ **CDF**. ἐπαινέσομεν] εὐλόγως ἐπαινέσομεν **Aldus**. 4. δεῖ ὧδε **ABDEGV**. 5. **Fort.** ἀναλαβόντα. 8. συμβέβηκε] **Fort.** συμβαίνῃ. 9. διεξελθεῖν **AB et Bekkerus**. 10. προσόντων **D**. 11. λέγειν **CM**. αὐτὰ **ABEGV**. 12. γινομένους **M**. 14. τούτοις **BDEFGM et Aldus**: τούτους **ceteri**. 17. **Fort.** ἐπιδείξεις. 19. ἢ ἀγαθοὺς εἶναι] **Fort.** κἀγαθούς. 20. προγεγονότας] **Fort.** προγόνων γεγονότας. 22. ὡς εὖ] ὧν εὖ **V**. τὴν **om. Aldus**. 23. **Fort.** ἐπιτίμα.

τυχόντες ἀνάξιοι γεγόνασιν. λέγε δὲ καὶ ὅτι τοῦτον, οὐ τοὺς προγόνους πρόκειται νῦν ἐγκωμιάζειν. ὁμοιοτρόπως δὲ καὶ κακολογοῦντα ἐπὶ τῶν μοχθηρῶν προγόνων ποιητέον τὴν γενεαλογίαν. καὶ τοῦτον μὲν τὸν τρόπον ἐν τοῖς ἐπαί-
5 νοις καὶ ταῖς κακολογίαις τὰς γενεαλογίας τακτέον. εἴ τι δὲ ἔνδοξον αὐτῷ διὰ τὴν ψυχὴν ὑπῆρξε, τοῦτο μόνον διαφυλάττοντα, ὅπως [τὰ] πρέποντα ταῖς ἡλικίαις ἐρεῖς καὶ μὴ μακρά· τοὺς γὰρ παῖδας οὐχ οὕτω δι' αὑτούς, ὡς διὰ τοὺς ἐφεστῶτας οἴονται κοσμίους εἶναι καὶ σώφρονας· διὸ
10 βραχυλογητέον περὶ αὐτῶν. ὅταν δὲ τοῦτον τὸν τρόπον διέλθῃς, ἐπὶ τῇ τελευτῇ τοῦ μέρους ἐνθύμημα καὶ γνώμην εἰπὼν ὅρισαι τοῦτο τὸ μέρος ἐπὶ τῇ τοῦ νεανίσκου ἡλικίᾳ, καὶ τὴν πρόθεσιν ποιήσας καὶ προτιθέμενος ἢ τὰ ἔργα τοῦ ἐπαινουμένου ἢ τὸν τρόπον ἢ τὰ ἐπιτηδεύματα αὔξειν,
15 καθάπερ εἴπομεν πρότερον ἐν ἀρχαῖς ἐπὶ τοῦ ἐγκωμιαστικοῦ εἴδους, διεξιὼν ὅτι ὑπὸ τούτου τοῦ ἐπαινουμένου ἐν ταύτῃ τῇ ἡλικίᾳ ὄντος τὸ καὶ τὸ γέγονεν ἔνδοξον, ἢ ὅτι διὰ τούτου, ἢ ὅτι διὰ τοῦ ἐπιτηδεύματος, ἢ ἐκ τούτου, ἢ ἕνεκα τούτου. δεῖ δὲ καὶ ἑτέρων νέων ἐνδόξους πράξεις
20 παριστάναι, καὶ ὑπερβάλλειν ταύτας ἐκείνων, τοῦ μὲν ἑτέρου τἀλάχιστα τῶν ὑπαρχόντων λέγοντα, τοῦ δ' ὑπὸ σοῦ ἐπαινουμένου τὰ μέγιστα. χρὴ δὲ καὶ παρ' ἄλλοις μικρὰ

---

1. τυγχάνοντες EprG. τούτοις C. 2. ὁμοτρόπως DV. 5. εἴτε FM. 6. ψυχὴν] τύχην libri. διαφυλάττοντα] Fort. δεῖ φυλάττειν. 7. ὅπως Bekkerus: πῶς CFMV, πως D, ἔπειτα ABEG. τὰ om. CMprF. 8. μὴ μακρὰ CFM: μικρὰ ceteri. οὐχ οὕτω δι' αὐτοὺς om. prE. 10. περὶ] εἶναι περὶ CFM. τὸν τρόπον τοῦτον C. 11. τῇ CFM: om. ceteri. 12. ὁρίσας CFM. 13. καὶ quod est ante τὴν fort. post μέρος collocandum. τὰ om. DV. 14. αὔξειν] Fort. αὐξε. 15. ἐν ἀρχαῖς πρότερον F. 18. διὰ τοῦτον MV. 20. ταύτας CDFMV: δεικνύναι τὰς τοῦδε τῶν ABEG, unde Sylburgio autore recentiores δ. τ. τ. τὰς. 21. τἀλάχιστα] τὰ λάχιστα E, τάχιστα F qui in marg. γρ. τὰ ἐλάχιστα. 22. δὲ καὶ] Fort. γὰρ. ἄλλοις] Fort. ἄλλων.

ἔνδοξα πράγματα παριστάμενα ὑπό σου λεγόμενα, οὕτω μεγάλα φαίνεσθαι. δεῖ δὲ καὶ εἰκάζοντα τὰς πράξεις αὔξειν ὧδε, καὶ ποῖ καὶ ποῖός τις νέος οὕτω φιλόσοφος ἐγένετο, ὃς πρεσβύτερος γενόμενος μεγάλην ἂν ἐπίδοσιν ἔσχεν. καὶ τοιοῦτός τις ἐῤῥωμένως τοὺς ἐν τοῖς γυμνασίοις ὑπομένων πόνους σφόδρα τὴν ἐν τῇ φιλοσοφίᾳ φιλοπονίαν ἀγαπήσει. τοῦτον μὲν οὖν τὸν τρόπον εἰκάζοντες αὐξήσομεν. ὅταν δὲ καὶ τὰ περὶ τὴν ἡλικίαν τοῦ νεανίσκου διέλθωμεν, καὶ ἐπὶ τῇ τελευτῇ τούτου τοῦ μέρους γνώμας καὶ ἐνθυμήματα τάξωμεν, ἢ παλιλλογήσαντες συντόμως τὰ προειρημένα, ἢ αὐτὸ τὸ μέρος τελευταῖον ὁρισάμενοι, πάλιν ἃ διεπράξατο ὁ ὑφ' ἡμῶν ἐγκωμιαζόμενος ἀνήρ, προθέμενοι τὴν δικαιοσύνην πρῶτον, καὶ ὁμοιοτρόπως τοῖς προειρημένοις αὐξήσαντες ἥξομεν ἐπὶ τὴν σοφίαν, ἐὰν ὑπάρχῃ· καὶ ταύτην τὸν αὐτὸν τρόπον διελθόντες, προθέμενοι τὴν ἀνδρείαν, ἐὰν ᾖ, καὶ τὴν αὔξησιν ταύτης πάλιν διαδραμόντες, ὅταν ἐπὶ τῇ τελευτῇ τοῦ μέρους [τούτου] γενώμεθα καὶ πάντα τὰ εἴδη διεξεληλυθότες ὦμεν, παλιλλογήσαντες ἐν κεφαλαίῳ τὰ προειρημένα, τελευτὴν ἤτοι γνώμην ἢ ἐνθύμημα παντὶ τῷ λόγῳ ἐπιθήσομεν. ἁρμόσει δ' ἐν τοῖς ἐπαίνοις καὶ πολλοῖς ὀνόμασι περὶ ἕκαστον

---

1. παριστάμενα ὑπό σου λεγόμενα **DFMV et C in quo** παριστάναι **esse videtur:** παριστάναι τοῖς ὑπὸ σοῦ λεγομένοις καὶ **ceteri. Fort.** τὰ **addendum ante** ὑπὸ. 2. δεῖ] ἀεὶ **libri.** 3. πῇ **DVγρF.** καὶ ποῖ **om. CprF.** καὶ ποῖος **om. M.** 4. ὃς] ἧς **CM.** 5. τοιοῦτος **CDFMV:** οὕτως **AB et Aldus,** οὕτω **EG. Fort.** τοιοῦτος ὅστις — ὑπομένει. ν 6. ὑπομένει **CDFMV,** ὑπομένω **A.** πόνοις **M.** φιλοσοφίᾳ] φιλοπονίᾳ **M.** 7. οὖν **om. CFM.** 8. ὅτε **CDFM.** καὶ **om. M.** τὰ **om. CFM.** 9. τῇ **CFM: om. ceteri.** 10. τάξομεν **CDFM et Aldus.** 11. αὐτὸ τό] περὶ τὸ **DV,** παρὰ τὸ **CFM,** τὸ πρακτικὸν **ABEG.** τελευταῖον **om. M,** τελευταῖον μέρος **DV.** 12. ὁ **om. EG.** 13. προθέμενος **BM.** πρῶτον **CDFMVprA:** τάξομεν πρῶτον **ceteri.** 16. ἀνδρίαν **ADEFGM.** 17. τῇ **CFM: om. ceteri.** τούτου **om. CDEFGMV. Fort.** τούτου τοῦ μέρους. 18. διεληλυθότες **B.** 20. ἁρμόττει **D.**

χρησάμενον μεγαλοπρεπῆ τὴν λέξιν ποιῆσαι. τὸν δ' αὐτὸν τρόπον ἐπὶ τῶν μοχθηρῶν πραγμάτων κακολογοῦντες τὰς κατηγορίας συστήσομεν. δεῖ δὲ μὴ σκώπτειν, ὧν ἂν κακολογῶμεν, ἀλλὰ διεξιέναι τὸν βίον αὐτοῦ· μᾶλλον γὰρ οἱ λόγοι τῶν σκωμμάτων καὶ τοὺς ἀκούοντας πείθουσι καὶ τοὺς κακολογουμένους λυποῦσιν. τὰ μὲν γὰρ σκώμματα στοχάζεται τῆς ἰδέας ἢ τῆς οὐσίας· οἱ δὲ λόγοι τῶν ἠθῶν καὶ τῶν τρόπων εἰσὶν οἷον εἰκόνες. φυλάττου δὲ καὶ τὰς αἰσχρὰς πράξεις μὴ αἰσχροῖς ὀνόμασι λέγειν, ἵνα μὴ διαβάλῃς τὸ ἦθος, ἀλλὰ τὰ τοιαῦτα αἰνιγματωδῶς ἑρμηνεύειν, καὶ ἑτέρων πραγμάτων ὀνόμασι χρωμένους δηλοῦν τὸ πρᾶγμα. χρὴ δὲ καὶ ἐν ταῖς κακολογίαις εἰρωνεύεσθαι καὶ καταγελᾶν τοῦ ἐναντίου, ἐφ' οἷς σεμνύνεται, καὶ ἰδίᾳ μὲν καὶ ὀλίγων παρόντων ἀτιμάζειν αὐτόν, ἐν δὲ τοῖς ὄχλοις κοινὰς μάλιστα κατηγορίας λοιδορεῖν· αὔξειν δὲ καὶ ταπεινοῦν τὸν αὐτὸν τρόπον τὰς κακολογίας, ὅνπερ καὶ τὰ ἐγκώμια. περὶ μὲν οὖν τούτων τῶν εἰδῶν ἐντεῦθεν εἰδήσομεν τὴν χρῆσιν.

36 Λοιπὸν δέ ἐστιν ἡμῖν εἶδος τό τε κατηγορικὸν καὶ τὸ ἀπολογητικὸν καὶ τὸ ἐξεταστικόν. ταῦτα πάλιν ὡς ἐν τῷ δικανικῷ γένει συνθήσομεν καὶ τάξομεν, διέλθωμεν.

Πρῶτον μὲν οὖν ἐν τοῖς προοιμίοις προθήσομεν τὸ πρᾶγμα περὶ οὗ κατηγορήσομεν ἢ ἀπολογησόμεθα, ὥσπερ ἐπὶ τῶν ἄλλων εἰδῶν. προσέχειν δὲ παρακαλέσομεν ἐκ τῶν αὐτῶν ὧν ἐν τῷ προτρεπτικῷ καὶ ἐν τῷ ἀπολογητικῷ.

---

1. χρησάμενοι **CFM**. 2. κακολογοῦντες **prM**, πραγματολογοῦντες **CF et corr. M**. τὰ **M**. 3. στήσομεν **ABDEGV**. 8. οἷον εἰσὶν **EG**. φυλάττου **E**, φυλάττουσι **M**. 9. διαβάλλῃς **BC**. 10. τοιαῦτα] **adde** δεῖ **vel** χρή. 12. καὶ **om. ABCEFGM**. 19. κατηγορητικὸν **M**. καὶ τὸ ἀπολογητικὸν **om. libri**. 21. τάξωμεν **D**. διέλθωμεν] καὶ διέλθωμεν **libri**. 23. πρᾶγμα **om. B**. οὗ **om. EG**. 24. ἐπὶ **om. DV, in marg. A**. 25. ἀπολογητικῷ] **Fort.** ἀποτρεπτικῷ.

ἔτι δὲ καὶ περὶ τῆς εὐμενείας, τῷ μὲν εὖ διακειμένῳ ἐκ τοῦ παροιχομένου χρόνου ἢ τοῦ παρόντος, καὶ μηδὲ διαβεβλημένῳ τῷ πρὸς αὐτὸν ἢ πρὸς τὸ πρᾶγμα ἢ πρὸς τὸν λόγον τοὺς ἀκούοντας δυσχεραίνειν τὸν αὐτὸν τρόπον, ὡς περὶ ἐκείνων εἴρηται, τὴν εὐμένειαν ποριστέον· τῷ δὲ μήτε εὖ μήτε κακῶς διακειμένῳ [τὴν εὐμένειαν παρασκευαστέον], ἢ ἐκ τοῦ παροιχομένου χρόνου ἢ ἐκ τοῦ παρόντος ἢ δι' ἑαυτὸν ἢ τὸ πρᾶγμα ἢ τὸν λόγον [τῷ δὲ] διαβεβλημένῳ ἔνια μὲν μεμιγμένως ἔνια δ' ἰδίως [πρὸς εὐμένειαν ποριστέον]. οὗτος μὲν οὖν ὁ τρόπος ἔσται δι' οὗ τὴν εὐμένειαν παρασκευαστέον. τοὺς μὲν γὰρ μήτε εὖ μήτε κακῶς διακειμένους αὐτοὺς μὲν συντόμως ἐπαινετέον καὶ τοὺς ἐναντίους κακολογητέον. δεῖ δὲ αὐτοὺς ἐκ τούτων ἐπαινεῖν ὧν μάλιστα μέτεστι τοῖς ἀκούουσι, λέγω δὲ φιλόπολιν φιλέταιρον ἐλεήμονα [καὶ] τὰ τοιαῦτα, τὸν δ' ἐναντίον κακολογεῖν ἐκ τούτων ἐφ' οἷς οἱ ἀκούοντες ὀργιοῦνται, ταῦτα δ' ἐστι μισόπολιν μισόφιλον ἀχάριστον ἀνελεήμονα [καὶ] τὰ τοιαῦτα. χρὴ δὲ καὶ τοὺς δικαστὰς ἐπαίνῳ θεραπεῦσαι, ὡς δικασταὶ δίκαιοι καὶ δεινοὶ εἰσιν. συμπαραληπτέον δὲ καὶ τὰς ἐλαττώσεις, εἴ που τῶν ἀντιδίκων καταδεεστέρως ἔχει πρὸς τὸ λέγειν ἢ πράττειν ἢ ἄλλο τι τῶν περὶ τὸν ἀγῶνα. πρὸς δὲ τούτοις ἐμβλητέον τό τε δίκαιον καὶ τὸ νόμιμον καὶ τὸ συμφέρον καὶ τὰ τούτοις ἀκόλουθα. τῷ μὲν οὖν μήτε εὖ μήτε κακῶς διακειμένῳ ἐκ τούτων ἐν τοῖς

---

1. ἐκ — ἢ] **Fort.** ἢ ἐκ — ἢ ἐκ, **nisi verba** ἐκ τοῦ — παρόντος **abundant.** 2. μήτε **CDFMV. Fort.** μὴ. 3. τῷ **CDFMV:** ὡς **ceteri.** 4. ὡς περὶ] **Fort.** ὅνπερ ἐπ'. 5. τὴν εὐμένειαν ποριστέον **om. M.** 6. τὴν εὐμένειαν παρασκευαστέον **om. CDFMVprA.** 7. ἢ **primum om. Aldus.** 8. τῷ δὲ **om. CDFMVprA.** 9. πρὸς εὐμένειαν ποριστέον **om. CDFMVprA.** 10. οὗτος μὲν — παρασκευαστέον **om. prE.** 13. αὐτοὺς] αὐτῶν **prF.** 14. μέτεστι] μήτε **EG.** φιλέτερον **E. Fort.** φιλέταιρον εὐχάριστον. 15. καὶ **om. ABCDEFGM.** 16. τούτου **FM.** 17. καὶ **om. CFM.** 20. δὲ **om. D et Aldus.** καταδεεστέρως **Basil.:** κατὰ δὲ ἑτέρους **M,** καταδεεστέρους **ceteri.**

δικασταῖς τὴν εὔνοιαν ποριστέον, τῷ δὲ διαβεβλημένῳ, ἐὰν μὲν ἐκ τοῦ παροιχομένου χρόνου αἱ διαβολαὶ ὦσι περὶ τὸν λόγον, ἴσμεν ὡς δεῖ ταῦτα λύειν ἐκ τῶν προτέρων. ἐὰν δὲ ἐκ τοῦ παρόντος χρόνου περὶ αὐτὸν τὸν ἄνθρωπον, ἀναγκαῖον διαβεβλῆσθαι, ἐὰν ἀπρεπὴς ᾖ τῷ παρόντι ἀγῶνι ἢ ὑπεναντίος τοῖς ἐγκλήμασιν ἢ ὁμολογούμενος τῇ κατηγορίᾳ. ἀπρεπὴς μὲν οὖν γένοιτ' ἄν, ἐὰν ἀγωνίζηται νεώτερος ἢ πρεσβύτερος ὑπὲρ ἄλλου, ὑπεναντίος δὲ ἐάν τις ἰσχυρὸς ὢν ἀσθενεῖ δικάζηται αἰκίας, ἢ ἐάν τις ὑβριστὴς ὢν ὕβριν ἐγκαλῇ σώφρονι, ἢ ἐάν τις πάνυ πλουσίῳ δικάζηται πάνυ πένης χρημάτων ἐγκαλῶν. οἱ μὲν οὖν τοιοῦτοι ὑπεναντίοι εἰσὶ τοῖς ἐγκλήμασιν, ὁμολογούμενος δ' ἔσται, ἐάν τις ἰσχυρὸς ὢν ὑπὸ ἀσθενοῦς αἰκίας διώκηται, ἢ ἐάν τις κλέπτης δοκῶν εἶναι κλοπῆς δίκην φεύγῃ. ὅλως δὲ οἱ τὰς περὶ αὐτῶν δόξας ὁμοιοτρόπους αὐτοῖς ἔχοντες ὁμολογούμενοι τοῖς ἐγκλήμασι δόξουσιν εἶναι. περὶ μὲν οὖν αὐτὸν τὸν ἄνθρωπον ἐκ τοῦ παρόντος χρόνου τοιαῦται γενήσονται διαβολαί. αἱ δὲ περὶ τὸ πρᾶγμα συμβαίνουσαι, ἐάν τις πραγματεύηται πρὸς οἰκείους φίλους ἢ ξένους ἢ ἰδίους, ἢ περὶ μικρῶν ἢ αἰσχρῶν· ταῦτα γὰρ ἀδοξίαν τοῖς δικαζομένοις ποιεῖ. πῶς οὖν τὰς διαβολὰς τὰς προειρημένας ἀπολύσομεν, τοῦτο δηλώσω. δύο μὲν δὴ στοιχεῖα λέγω κοινὰ κατὰ πάντων, τὸ μέν, οἷς ἂν νομίζῃς τοὺς κριτὰς ἐπιπλήξειν, προκαταλάμβανε αὐτοὺς καὶ ἐπίπληττε, τὸ δὲ ἕτερον, εἰ τὰς πράξεις μάλιστα μὲν εἰς τοὺς ἀντιδίκους ἀποτρέψεις, εἰ δὲ μή, εἰς ἄλλους τινάς, προφάσει

---

2. ἐκ τοῦ παροιχ. χρ. fort. abundant. 3. ταῦτα CFM: τὰ τοιαῦτα ceteri. Fort. ταύτας. 8. πρεσβύτερος] Fort. delendum. 9. ἀσθενῆ M. 10. ἐγκαλεῖ CF. 12. ὁμολογούμενον M. 14. δοκῶν εἶναι CFM et Aldus: ὢν ceteri. φεύγει M. 18. Fort. συμβαίνουσιν. 24. ἐπίπλησσε M. 25. εἰ CFM: εἰς ceteri. 26. ἀποστρέψεις DV Bekkerus, ἀποτρέπεις CM, ἀποτρεπειν (sic) F.

χρώμενος, ὅτι οὐχ ἑκὼν ἀλλ' ὑπὸ τῶν ἀνταγωνιστῶν ἀναγκαζόμενος εἰς τὸν ἀγῶνα κατέστης. καθ' ἑκάστην δὲ τὴν διαβολὴν τάδε χρὴ προφασίζεσθαι· τὸν μὲν νεώτερον πρεσβυτέρων φίλων ἀπορίαν τῶν ἀγωνιουμένων ὑπὲρ αὐτοῦ, ἢ μέγεθος ἀδικημάτων, ἢ προθεσμίαν χρόνου, ἢ πλῆθος, ἢ ἄλλο τι τοιοῦτον. ἐὰν δὲ ὑπὲρ ἄλλου λέγῃς, ῥητέον ὡς διὰ φιλίαν συνηγορεῖς, ἢ δι' ἔχθραν τοῦ ἀντιδίκου, ἢ διὰ τὸ τοῖς πράγμασι παραγενέσθαι, ἢ διὰ τὸ τῷ κοινῷ συμφέρον, ἢ διὰ τὸ ἔρημον εἶναι καὶ ἀδικεῖσθαι ᾧ συνηγορεῖς. ἐὰν δὲ ὁμολογούμενος τῷ ἐγκλήματι ἢ ὑπεναντίος τῇ κατηγορίᾳ γένηται, τῇ τε προκαταλήψει χρῆσθαι καὶ λέγειν ὡς οὐ δίκαιον καὶ νόμιμον, οὐδὲ συμφέρον ἐκ τῆς ὑπολήψεως ἢ τῆς ὑποψίας κατακρίνειν, πρὶν τοῦ πράγματος ἀκοῦσαι. τὰς μὲν οὖν περὶ τὸν ἄνθρωπον αὐτὸν διαβολὰς οὕτω λύσομεν. τὰς δὲ περὶ τὸ πρᾶγμα οὕτως ἀπωσόμεθα, τὴν αἰτίαν εἰς τὸν ἐναντίον τρέποντες, ἢ λοιδορίαν ἐγκαλοῦντες αὐτοῖς, ἢ ἀδικίαν, ἢ πλεονεξίαν, ἢ φιλονεικίαν, ἢ ὀργὴν προφασιζόμενοι, ὅτι τοῦ δικαίου δι' ἄλλου τρόπου τυχεῖν ἀδύνατον. τὰς μὲν οὖν ἰδίας διαβολὰς ἐπὶ τῶν δικαστῶν οὕτω λύσομεν, τὰς δὲ κοινὰς πᾶσι τοῖς εἴδεσιν, ὡς ἐπὶ τῶν προτέρων εἰδῶν εἴρηται. τάξομεν δὲ τὰ δικανικὰ προοίμια τὸν αὐτὸν τρόπον, ὅνπερ καὶ τὰ δημηγορικά. κατὰ τὸν αὐτὸν δὲ λόγον καὶ τὰς ἀπαγγελίας συνάψομεν τῷ προοιμίῳ, καὶ ἢ παρὰ τὰ μέρη πιστὰς καὶ

---

5. προσθεμίαν **M**, προσθεσμίαν **C**. ἢ πλῆθος] **Fort. post** ἀδικημάτων **collocanda.** 6. τοιοῦτον] τῶν τοιούτων **V.** ἄλλους **M.** 8. τῷ κοινῷ] κοινῇ **DV Bekkerus.** 9. ἀδικεῖσθαι] διακεῖσθαι **M.** 11. γένηται] **Fort.** γένῃ, δεῖ. 13. προκατακρίνειν **CDFMV.** 14. ταῖς **V.** οὖν **om. B.** διαβολαῖς οὕτω χρήσομεθα **DV.** 15. τὰ **BDEG.** 16. τὸ ἐναντίον **ABCEFGM. Fort.** τοὺς ἐναντίους. 17. αὐτῷ **Sylburgius.** ἢ ὀργὴν **CFM:** καὶ ὀργὴν **ceteri.** 20. δικαστῶν **FM:** δικαστηρίων **ceteri.** 23. δὲ **om. ABDEGV.** λόγον] **Fort.** τρόπον. ἐπαγγελίας **CDFMV.** συνάψωμεν **M.** 24. παρὰ **CFM:** περὶ **ceteri.**

δικαίας ἀποφανοῦμεν, ἢ αὐτὰς ὑφ' ἑαυτῶν σωματοειδεῖς ποιησόμεθα.

Τὰ δὲ μετὰ ταῦτα ἔσται βεβαίωσις, ἂν μὲν ἀντιλέγηται τὰ πράγματα ὑπὸ τῶν ἀντιδίκων, ἐκ τῶν πίστεων· ἂν δὲ ὁμολογῆται, ἐκ τῶν δικαίων καὶ [ἐκ] τῶν συμφερόντων καὶ ἐκ τῶν τούτοις ἀκολούθων. τάττειν δὲ δεῖ τῶν μὲν πίστεων πρώτας τὰς μαρτυρίας, καὶ τὰ ἐκ τῶν βασάνων ἡμῖν ὁμολογηθέντα, ἂν ὑπάρχῃ. ἔπειτα βεβαιοῦν, ἂν μὲν πιθανὰ ᾖ, γνώμαις καὶ ἐνθυμήμασιν· ἐὰν δὲ μὴ παντελῶς πιθανὰ ᾖ, τῷ εἰκότι, ἔπειτα τοῖς παραδείγμασι καὶ τοῖς τεκμηρίοις καὶ τοῖς σημείοις καὶ τοῖς ἐλέγχοις, τελευταῖον δὲ τοῖς ἐνθυμήμασι καὶ ταῖς γνωμολογίαις. ἐὰν δὲ ὁμολογῆται τὰ πράγματα, τὰς μὲν πίστεις ἐατέον, τῇ δὲ δικαιολογίᾳ ὥσπερ ἐν τοῖς ἔμπροσθεν χρηστέον. καὶ τοῦτον μὲν τὸν τρόπον βεβαιώσομεν.

Μετὰ δὲ τὴν βεβαίωσιν τὰ πρὸς τοὺς ἀντιδίκους τάττοντες προκαταληψόμεθα αὐτῶν τὰ ἐπίδοξα λέγεσθαι. ἐὰν μὲν οὖν ἐξαρνῶνται τὸ πρᾶγμα, τὰς μὲν ὑφ' ἡμῶν πίστεις εἰρημένας αὐξητέον, τὰς δ' ὑπ' ἐκείνων μελλούσας λέγεσθαι διασυρτέον καὶ ταπεινωτέον. ἐὰν δὲ ὁμολογοῦντες ὦσιν ἔννομα καὶ δίκαια ἀποφαίνειν κατὰ τοὺς γεγραμμένους νόμους, οὓς [μὲν] ἡμεῖς παρεχόμεθα καὶ τοὺς ὁμοίους τούτοις δικαίους καὶ καλοὺς καὶ συμφέροντας τῷ κοινῷ τῆς πόλεως καὶ κεκριμένους ὑπὸ τῶν πολλῶν τοιούτους εἶναι πειρατέον ἐπιδεικνύειν· τοὺς δὲ τῶν ἀντιδίκων τὰ

---

3. ἀντιλέγωνται **ABEG**. 5. ὠμολόγηται **libri**, ὁμολόγηται **Aldus**. ἐκ **Aldus**: **om. libri**. 6. ἀκολουθούντων **CFM**. τῶν **om. V**. 8. ἀπίθανα **CFM**. 9. πιθανὰ παντελῶς **V**. 10. τεκμηρίοις] καὶ ταῖς γνωμολογίαις **add. M**. 12. ὠμολόγηται **ABCDGV**. 16. τὰ **om. DV**. πρὸς] ἐπὶ **F**. 20. διασυστέον **C**, διασειστέον **M**. ὦσιν] **Fort.** μέλλωσιν. 21. καὶ **om. DVprA**. 22. οὓς] καὶ οὓς **Basil**. μὲν **om. CFMprA**. παρεχόμεθα **M**: παρεσχόμεθα **ceteri**. 24. πόλεως καὶ **Bekkerus**: καὶ **om. libri**. τῶν **om. CDFV**. 25. δεικνύειν **B**.

ἐναντία. ἐὰν δὲ μὴ ἐνδέχηται ταῦτα λέγειν, ὑπομίμνησκε τοὺς δικαστὰς ὅτι οὐχ ὑπὲρ τοῦ νόμου, ἀλλὰ τοῦ πράγματος δικάζουσιν, ὀμόσαντες κατὰ τοὺς νόμους τοὺς κειμένους τὴν ψῆφον οἴσειν, καὶ δίδασκε ὅτι οὐ νῦν νομοθετεῖν προσήκει, ἀλλ' ἐν ταῖς περὶ τούτων κυρίαις ἡμέραις. ἂν δ' ἡμῖν συμβαίνῃ τὸ παρὰ μοχθηροὺς δοκοῦντας εἶναι νόμους τὸ πρᾶγμα πεπρᾶχθαι, ῥητέον ὡς οὐ νόμος ἀλλ' ἀνομία τὸ τοιοῦτόν ἐστιν· ὁ μὲν γὰρ νόμος ἐπὶ τῷ ὠφελεῖν τίθεται, οὗτος δὲ βλάπτει τὴν πόλιν. ῥητέον δὲ καὶ ὡς οὐ παρανομήσουσιν, ἂν τούτῳ τῷ νόμῳ ἐναντίαν ψῆφον θῶνται, ἀλλὰ νομοθετήσουσιν, ὥστε μὴ χρῆσθαι δόγμασι πονηροῖς καὶ παρανόμοις. δεῖ δὲ καὶ τοῦτο συμβιβάζειν, ὡς οὐδεὶς νόμος κωλύει τὸ κοινὸν εὖ ποιεῖν, τοὺς δὲ φαύλους νόμους ἀκύρους ποιεῖν εὐεργετεῖν τὴν πόλιν ἐστίν. περὶ μὲν οὖν τῶν σαφῶς εἰρημένων νόμων ὁποίους ἂν αὐτῶν ἔχωμεν, ἐκ τῶν τοιούτων προκαταλαμβάνοντες ἀντιλέγειν εὐπορήσομεν. περὶ δὲ τῶν ἀμφιβόλων ἐὰν οὕτως ὑπολαμβάνωσιν, ὡς σοὶ συμφέρει, δεῖ ταῦτα ὑποδεικνύειν. ἂν δ' ὡς ὁ ἐναντίος λέγει, χρὴ διδάσκειν, ὡς ὁ νομοθέτης οὐ τοῦτο διενοεῖτο ὃ σὺ λέγεις, καὶ ὅτι συμφέρει αὐτοῖς οὕτω λέγειν τὸν νόμον. ἐὰν δὲ μὴ δυνατὸς ᾖς ἐπὶ τὸ ἐναντίον μεθιστάναι, δείκνυε ὡς οὐδὲν ἄλλο λέγειν ὁ ἐναντίος δύναται νόμος ἢ ὃ σύ. καὶ περὶ μὲν νόμων, ὡς δεῖ χρῆσθαι, τοῦτον τὸν τρόπον μετιὼν εὐπορήσεις. καθόλου δὲ ἂν ὁμολογήσαντες ἐκ τῶν δικαίων καὶ τῶν νομίμων τὴν ἀπολογίαν ποιεῖσθαι μέλλωσιν, ἐκ τούτων τὰ ἐπίδοξα

---

4. *νῦν νομοθετεῖν* **CFM**: *νῦν* **om. DV**, *νομοθετεῖν νῦν* **ceteri.** 6. *μοχθηροῖς δοκοῦσιν* **CDFMVprAB**, *μοχθηροῖς καὶ δοκοῦσιν* **Aldus.** 7. *νόμοις* **DVprAB**, **om. CMprF.** 8. *τῷ*] *τὸ* **Aldus.** 10. *ἐναντία ψη* **M.** 11. *νομοθετοῦσιν* **CFMprA.** 19. *οἱ ἐναντίοι* **CFM**, *ὁ* **rcG.** *λέγει* **Bekkerus (ex BV?)**: *λέγῃ* **nostri.** 20. *οὐ* **abundat.** 21. *δυνατοῖς* **M.** 23. *νόμων*] *τῶν νόμων* **Aldus.** 24. *εὐπορήσεις — νομίμων* **om. M.** 26. *μέλλουσιν* **CM**, *μέλλουσιν* **corr. rcF.**

ῥηθήσεσθαι προκαταληπτέον. ἐὰν δὲ ὁμολογήσαντες συγγνώμης ἀξιῶσι τυχεῖν, ὧδε χρὴ περιαιρεῖσθαι τὰ τοιαῦτα τῶν ἀντιδίκων. πρῶτον μὲν λεκτέον ὡς κακοηθέστερον ἦν, καὶ ὡς τὰ τοιαῦτα ἐξαμαρτάνειν φασίν, ὅταν γνωσθῶσιν, ὥστε εἰ τούτῳ συγγνώμην ἔχετε, καὶ τοὺς ἄλλους πάντας τῶν τιμωριῶν ἀφήσετε. ἔτι δὲ λέγε ὡς εἰ τῶν ὁμολογούντων ἐξαμαρτάνειν ἀποψηφιεῖσθε, πῶς τῶν μὴ ὁμολογούντων καταψηφιεῖσθε; λεκτέον δὲ ὅτι εἰ καὶ ἐξήμαρτεν, οὐκ ἐμὲ δεῖ διὰ τὴν τούτου ἁμαρτίαν ζημιοῦσθαι. πρὸς δὲ τούτοις ῥητέον ὡς οὐδὲ ὁ νομοθέτης τοῖς ἁμαρτάνουσι συγγνώμην ἔχει· οὐκοῦν δίκαιον οὐδὲ τοὺς δικαστὰς κατὰ τοὺς νόμους κρίνοντας. ἐκ μὲν οὖν τῶν τοιούτων τὰς συγγνώμας περιαιρησόμεθα, καθάπερ ἐν ἀρχαῖς δεδηλώκαμεν. συλλήβδην δὲ τὰ ὑπὸ τῶν ἀντιδίκων μέλλοντα λέγεσθαι καὶ πρὸς πίστιν καὶ δικαιολογίαν καὶ συγγνώμην ἐκ τῶν προειρημένων προκαταληψόμεθα.

Μετὰ δὲ ταῦτα τὴν αἰτίαν ἀναλογητέον ἐν κεφαλαίῳ τὸν λόγον ὅλον, καὶ συντόμως ἐὰν ἐνδέχηται πρὸς μὲν τοὺς ἐναντίους ἔχθραν ἢ ὀργὴν ἢ φθόνον τοῖς δικασταῖς ἐμποιητέον, πρὸς δ' ἡμᾶς φιλίαν ἢ χάριν ἢ ἔλεον. ὅθεν δὲ ταῦτα γίνεται, ἐν τῷ δημηγορικῷ καὶ ἐπὶ τῶν προτροπῶν καὶ ἀποτροπῶν εἰρήκαμεν, καὶ ἐν τῷ ἀπολογητικῷ εἴδει πάλιν ἐπὶ τελευτῆς διέξιμεν. τὸν μὲν οὖν πρῶτον λόγον, ἐὰν κατηγορῶμεν, ἐν τοῖς δικανικοῖς οὕτω [καὶ] συνθήσομεν καὶ τάξομεν.

---

1. ῥηθέσεται **M.** συγγνώμης **om. M.** 2. τοιαῦτα] τοιαῦτα ἐξαμαρτάνειν **M.** 3. ἐκλεκτέον **V.** 4. καὶ] ἢ **M.** 6. μωριῶν **B.** 13. καθάπερ] περ **E.** ἐν] καὶ ἐν **ABDEGV.** 17. ταῦτα **DV**: ταύτην ceteri. τὴν αἰτίαν ἀναλογητέον] **Fort.** παλιλλογητέον. ἀναλογιστέον **CF,** ἀναλογιτέον **M.** τὸν λόγον ὅλον ἐν κεφ. **F.** 21. τοῦτο **F.** καὶ ἐπὶ τῶν προτροπῶν] ἐπὶ τῶν τροπῶν **CFM.** 22. καὶ ἀποτροπῶν **om. ABDEGV.** 23. πρῶτον] πρῶτον τὸν **V.** 24. καὶ **Aldus: om. libri.** 25. καὶ τάξομεν **om. EG.**

Ἐὰν δὲ ἀπολογώμεθα, τὸ μὲν προοίμιον ὁμοιοτρόπως τῷ κατηγοροῦντι συστήσομεν, τῶν δὲ κατηγορουμένων ἃ μὲν εἰδέναι τοὺς ἀκούοντας ἐποίησε, παραλείψομεν· ἃ δὲ δοξάζειν, ταῦτα προθέμενοι μετὰ τὸ προοίμιον διαλύσομεν, τούς τε μάρτυρας καὶ τὰς βασάνους καὶ τοὺς ὅρκους ἀπίστους ποιήσομεν, ὡς προακήκοας, εἰ μὲν τὰ πράγματα πιστὰ ᾖ, τὴν ὑπὲρ αὐτῶν ἀπολογίαν ἐπὶ τὸν ἐκ τοῦ παραλειπομένου τόπον μεταβιβάζοντες, εἰ δ' εἶεν οἱ μάρτυρες οἱ βασανισθέντες πιστοί, ἐπὶ τὸν λόγον ἢ τὴν πρᾶξιν ἢ ὅ τι ἂν ἄλλο ἔχῃς ἐπὶ τῶν ἐναντίων πιστότατον. ἂν δὲ τὸ λυσιτελὲς ἢ τὸ ἔθος ἐπιφέρων σοῦ κατηγορήσῃ, ἀπολογοῦ μάλιστα μὲν ὡς ἀλυσιτελές ἐστι τὸ κατηγορούμενον, εἰ δὲ μή, ὅτι οὐκ εἴθισαι τὰ τοιαῦτα πράττειν οὔτε σὺ οὔτε οἱ σοὶ ὅμοιοι, ἢ ὅτι οὐ τοῦτον τὸν τρόπον. τὸ μὲν οὖν εἰκὸς οὕτω λύσεις. τὸ δὲ παράδειγμα πρῶτον μὲν ἂν δύνῃ, δείκνυε ὡς οὐχ ὅμοιόν ἐστι τῷ ἐγκαλουμένῳ, εἰ δὲ μή, ἕτερον φέρε αὐτὸς παράδειγμα ἐκ τῶν ἐναντίων παρὰ τὸ εἰκὸς γενόμενον. τὸ δὲ τεκμήριον λύε, φράζων παρ' ἃς αἰτίας ἐναντιωθῆναι συνέβη· τὰς δὲ γνώμας καὶ τὰ ἐνθυμήματα ἢ παράδοξα ἀπόφαινε ἢ ἀμφίβολα. τὰ δὲ σημεῖα πλειόνων ὄντα ἀπόφαινε σημεῖα καὶ μὴ μόνου τοῦ σοὶ ἐγκαλουμένου. καὶ τὰ μὲν τῶν ἐναντίων ἐπὶ τὸ ἐναντίον ἄγοντες ἢ ἐπὶ τὸ ἀμφίβολον ἀπίθανα τοῦτον τὸν τρόπον καταστήσομεν. ἂν δὲ ὁμολογῶμεν τὰ ἐγκαλούμενα πεποιηκέναι, ἐκ τῶν δικαίων καὶ νομίμων μετιόντες ἐννομώτερα καὶ δικαιότερα τὰ ἡμέτερα ἀποδεικνύναι πειρασόμεθα· ἐὰν δὲ μὴ τοῦτ' ἐνδέχηται, εἰς ἁμάρτημα ἢ ἀτύχημα

---

4. προεκθέμενοι **M et Aldus.** 5. τὰς] τοὺς **E.** 7. ᾖ] **Fort.** εἴη. 8. μάρτυρες οἱ] **Fort.** μάρτυρες ἢ οἱ. 12. ἀλυσιτελὲς **Bekkerus:** λυσιτελὲς **libri.** 14. ὅτι οὐ **om. prF.** οὐ τοῦτον] τοῦτον **E,** οὗτον **G.** 15. πρῶτον — παράδειγμα **om. prE.** 18. γινόμενον **F.** 20. ἀπόφαινε] αὐτὰ ἀπόφαινε **EG.** 21. ὄντα] ὄντων **libri.** μόνον **FM.** 25. καὶ] καὶ τῶν **D.** ἐννομώτερον καὶ δικαιότερον **M.** 27. ἂν **D et Aldus.**

καταφεύγοντας καὶ μικρὰς τὰς βλάβας ἀποφαίνοντας συγγνώμης τυγχάνειν πειρατέον, τὸ μὲν ἁμαρτάνειν κοινὸν πάντων ἀνθρώπων ἐπιδεικνύοντας, τὸ δ' ἀδικεῖν ἴδιον τῶν πονηρῶν. λέγε δὲ ὅτι καὶ ἐπιεικὲς καὶ δίκαιον καὶ συμφέρον ἐστὶ συγγνώμην ἔχειν ταῖς ἁμαρτίαις· οὐδεὶς γὰρ οἶδεν ἀνθρώπων, εἴ τι τοιοῦτον αὐτῷ συνεμπέσοι. ἀπόφαινε καὶ τὸν ἐναντίον, εἴ τι ἐξήμαρτεν, συγγνώμης τυχεῖν ἀξιώσαντα.

Μετὰ [δὲ] ταῦτα αἱ προκαταλήψεις αἱ ὑπὸ τῶν ἐναντίων εἰρημέναι. τὰς μὲν οὖν ἄλλας ἐξ αὐτῶν τῶν πραγμάτων εὐπορήσομεν λύειν· ἐὰν δὲ διαβάλλωσιν ἡμᾶς ὡς γεγραμμένους λόγους λέγομεν, ἢ λέγειν μελετῶμεν, ἢ ὡς ἐπὶ μισθῷ τινι συνηγοροῦμεν, χρὴ πρὸς τὰ τοιαῦτα ὁμόσε βαδίζοντας εἰρωνεύεσθαι, καὶ περὶ μὲν τῆς γραφῆς λέγειν, μὴ κωλύειν τὸν νόμον ἢ αὐτὸν γεγραμμένα λέγειν ἢ ἐκεῖνον ἄγραφα· τὸν γὰρ νόμον οὐκ ἐᾷν τοιαῦτα πράττειν, λέγειν δὲ ὅπως ἄν τις βούληται συγχωρεῖν. ῥητέον δὲ καὶ ὅτι οὕτως ὁ ἐναντίος οἴεται μεγάλα ἠδικηκέναι, ὥστ' οὐ νομίζει με κατ' ἀξίαν κατηγορῆσαι, εἰ μὴ γράφοιμι καὶ πολὺν χρόνον σκεψαίμην. περὶ μὲν οὖν τὰς τῶν γεγραμμένων λόγων διαβολὰς οὕτως ἀπαντητέον. ἂν δὲ φάσκωσιν, ἡμᾶς λέγειν μανθάνειν καὶ μελετᾷν, ὁμολογήσαντες ἐροῦμεν· ἡμεῖς μὲν οἱ μανθάνοντες ὡς φῂς οὐ φιλόδικοί ἐσμεν, σὺ δὲ ὁ λέγειν μὴ ἐπιστάμενος καὶ νῦν ἡμᾶς καὶ πρότερον ἐάλως συκοφαντῶν· ὥστε λυσιτελὲς φανεῖται τοῖς πολίταις κἀκεῖνον μανθάνειν ῥητορεύειν· οὐ γὰρ οὕτω

---

1. *μικρὰς* V et Bekkerus: *σμικρὰς* ceteri. 4. *ὅτι καὶ*] *καὶ* om. FM. 5. *ἔχει* C. 6. *τι*] *τὸ* M. *τοιοῦτο* C, *τοιοῦτο* F. *συνεμπέση* ABCEFG. 9. *δὲ* Aldus: om. libri. 11. *ἐὰν δὲ*] *ὅταν* CM, *ὅταν δὲ* F. 12. *λέγωμεν* V. 13. *συνηγορῶμεν* EGMV. 15. *ἢ αὐτὸν — νόμον* om. prE. 17. *λέγει* ABEG. 18. *οὕτος* M et marg. Venetae. *μεγάλη* F. 19. *νομίζοι* C, *νομίζοιμι* M et marg. Venetae, *νομίζειν* AEG. *με* om. M. 20. *ἐσκεψάμην* DV. 21. *ἐὰν* DV. 23. *μὲν*] *δὲ* B. 24. *μὴ* om. F.

πονηρὸν οὐδὲ συκοφάντην αὐτὸν εἶναι. τὸν αὐτὸν δὲ τρόπον κἂν ἡμᾶς ἐπὶ μισθῷ συνηγορεῖν λέγῃ τις, ὁμολογήσαντες εἰρωνευσόμεθα, καὶ τὸν αἰτιώμενον ἡμᾶς ἐπιδείξομεν τοῦτο ποιοῦντα καὶ τοὺς ἄλλους ἅπαντας. τῶν δὲ μισθῶν διαιροῦ τὰ εἴδη καὶ λέγε, ὡς οἱ μὲν ἐπὶ χρήμασιν οἱ δ' ἐπὶ χάρισιν οἱ δ' ἐπὶ τιμωρίαις οἱ δ' ἐπὶ τιμαῖς συνηγοροῦσιν· αὐτὸν μὲν οὖν ἀπόφαινε διὰ χάριν συνηγοροῦντα, τὸν δ' ἐναντίον λέγε οὐδὲ ἐπὶ μικρῷ μισθῷ συνηγορεῖν· ὅπως γὰρ λάβῃ ἀργύριον ἀδίκως, οὐχ ὅπως μὴ ἐκτίσῃ, δικάζεται. τῷ αὐτῷ δὲ τρόπῳ καὶ ἐάν τις ἡμᾶς δικάζεσθαί τινας λέγῃ διδάσκειν ἢ λόγους δικανικοὺς συγγράφειν· ἀπόφαινε γὰρ καὶ τοὺς ἄλλους ἅπαντας, καθ' ὅσον δύνανται, τοὺς φίλους ὠφελεῖν καὶ διδάσκοντας καὶ συμβουλεύοντας· καὶ οὕτως ἐντέχνως περὶ τῶν τοιούτων ἀπαντήσεις.

Χρὴ δὲ καὶ περὶ τὰς ἐρωτήσεις καὶ τὰς ἀποκρίσεις, ὁπόσαι πίπτουσιν εἰς τὰ τοιαῦτα εἴδη, μὴ ῥᾳθύμως ἔχειν, ἀλλὰ διακρίνειν τὰς ὁμολογίας καὶ τὰς ἀρνήσεις ἐν ταῖς ἀποκρίσεσιν. ὁμολογίαι μὲν οὖν εἰσιν αἱ τοιαίδε· ἀπέκτεινάς μου τὸν υἱόν· ἀπέκτεινα πρότερον ἐπ' ἐμὲ σίδηρον αἰρόμενον. συνέκοψάς μου τὸν υἱόν· ἔγωγε ἀδίκων χειρῶν ἄρχοντα. κατέαξάς μου τὴν κεφαλήν· ἐγὼ βιαζομένου σου νύκτωρ εἰς τὴν ἐμὴν οἰκίαν εἰσιέναι. αἱ μὲν οὖν τοιαῦται ὁμολογίαι τῷ νομίμῳ πιστεύουσαι ὁμολογοῦνται. αἱ

---

2. ἐπιμηστω E. 3. εἰρωνευόμεθα DV. 5. διαιροῦ C: διαιροῦν F, διαιροῦντα DMV, διαιρεῖν ceteri. τὰ om. MV. εἴδει M. λέγε CM: λέγειν ceteri. 6. χάριν M. 7. Fort. σαυτὸν. οὖν om. CMprF. 8. ἐπὶ μισθῷ μικρῷ CF, ἐπισθῶ μακρῶ M. 9. λαβεῖν prF. 10. Fort. τὸν αὐτὸν δὲ τρόπον κἄν vel τρόπῳ δεῖ χρῆσθαι κἄν. δὲ] δὴ CM. 11. λέγειν DV. 12. γράφειν M. γὰρ] Fort. abundat. 16. χρὴ — ἐρωτήσεις καὶ om. EG. 21. αἰρόμενον Bekkerus (ex BV?): αἴρομενον D, αἰρούμενον ceteri, ἀράμενον Sylburgius coniecit. 23. σου om. EG. 24. νόμῳ CFM.

δὲ τοιαίδ' ἀρνήσεις παρεγκλίνουσι τὸν νόμον· ἀπέκτεινάς μου τὸν υἱόν· οὐκ ἔγωγε ἀλλ' ὁ νόμος. τὰ δὲ τοιαῦτα πάντα οὕτω δεῖ ὑποκρίνεσθαι, ὅταν τῶν νόμων ὁ μὲν κελεύῃ τοῦτο ποιεῖν ὁ δὲ κωλύῃ. τὰ μὲν οὖν πρὸς τοὺς ἀντιδίκους ἐκ τούτων ἁπάντων συνάξεις.

Μετὰ δὲ ταῦτα παλιλλογία τῶν εἰρημένων ἤδη σύντομος ἀνάμνησις. χρήσιμος δέ ἐστι παρὰ πάντας τοὺς καιρούς, ὥστε καὶ παρὰ μέρος καὶ παρὰ εἶδος τῇ παλιλλογίᾳ χρηστέον, μάλιστα δ' ἁρμόττει πρὸς τὰς κατηγορίας καὶ τὰς ἀπολογίας· ἔτι δὲ παρὰ τὰς προτροπὰς καὶ ἀποτροπάς· οὐ γὰρ μόνον ἀναμνῆσαι δεῖν φαμὲν περὶ τῶν εἰρημένων ἐνταῦθα, καθάπερ καὶ ἐπὶ τῶν ἐγκωμίων καὶ τῶν κακολογιῶν, ἀλλὰ καὶ πρὸς ἡμᾶς τοὺς κριτὰς εὖ διαθεῖναι καὶ πρὸς τοὺς ἐναντίους κακῶς· διὸ καὶ τελευταῖον τοῦτο τῶν ἐν τῷ λόγῳ μερῶν τάττομεν. ἔστι δὲ μνημονικὸν ποιεῖν ἐν κεφαλαίῳ ἀπολογιζόμενον περὶ τῶν εἰρημένων ἢ διαλογιζόμενον ἢ προσερωτῶντα τῶν μὲν σαυτοῦ τὰ βέλτιστα, τῶν δ' ἐναντίων τὰ φαυλότατα· εἰ δὲ βούλει, εἰρωνείας σχῆμα ποιησάμενον. οἷον δὲ τούτων ἕκαστόν ἐστιν, ἐκ τῶν προτέρων ἴσμεν. εὖ δὲ διαθήσομεν ἡμᾶς καὶ τοὺς ἐναντίους κακῶς, ὥσπερ ἐπὶ τῶν προτροπῶν καὶ ἀποτροπῶν, ἀποφαίνοντες κεφαλαιωδῶς, ἐφ' οἷς εὖ πεποιήκαμεν τοὺς ἀδικοῦντας ἢ ποιοῦμεν ἢ ποιήσομεν, ἢ αὐτοὶ ἢ ἡμέτεροι φίλοι, ἢ αὐτοὺς ἢ ὧν κηδόμενοι τυγχά-

---

1. *παρεγκλίνουσι* **CFM**: *παρακλίνουσι* **ceteri**. 2. *δὴ* **B**. 6. *ἤδη*] **Fort. delendum**. 10. *δὲ*] *δὲ καὶ* **B**. *παρὰ* **ABCFMV**: *περὶ* **ceteri**. *προτροπὰς*] *τροπὰς* **DEGMprC**. 13. *καὶ* **om. CDFMVprA**. 14. *διὸ καὶ τελευταῖον*] *τελευταῖον* **DVprA**, *τελευταῖον δὲ* **CFM**, *διὸ τελευταῖον* **EG**. 17. *ἢ διαλογιζόμενον* **om. CMprF**. **Fort.** *διαλογιζόμενον ἢ ἀπολογιζόμενον περὶ τῶν εἰρημένων ἢ προαιρούμενον ἢ προσερωτῶντα*. 19. *εἰρωνείας*] *ἐρωτήσεως* **libri**. 20. *πρότερον* **rcC et Bekkerus (ex BV?)**. 21. *προτροπῶν*] *τροπῶν* **M**. 22. *ἀποφαίνοντες* **D**: *ὑποφαίνοντες* **ceteri**. 24. *ἡμέτεροι*] *οἱ ἡμέτεροι* **DEG**.

νουσιν, ἢ πάλιν τοὺς κρίνοντας αὐτοὺς ἢ ὧν κηδόμενοι τυγχάνουσι, καὶ διεξιόντες αὐτοῖς, ὡς νῦν καιρὸς χάριτας ἡμῖν τῶν ὑπηργμένων ἀποδοῦναι, καὶ πρὸς τούτοις ἐλεεινοὺς ἡμᾶς αὐτοὺς καθιστάντες, ἐὰν ἐνδέχηται. τοῦτο δὲ ποιήσομεν, ἐπιδεικνύντες ὡς πρὸς τοὺς ἀκούοντας οἰκείως ἔχομεν καὶ ἀναξίως δυστυχοῦμεν, κακῶς πρότερον πεπονθότες ἢ νῦν πάσχοντες ἢ πεισόμενοι, ἐὰν μὴ βοηθῶσιν ἡμῖν οὗτοι. ἐὰν δὲ μὴ τοιαῦτα ὑπάρχῃ, διεξιόντες τίνων ἀγαθῶν ἐστερήμεθα ἢ στερισκόμεθα ἢ στερησόμεθα ὀλιγωρηθέντες ὑπὸ τῶν κρινόντων, ἢ ὡς ἀγαθοῦ μηδέποτε ἐτύχομεν ἢ μὴ ἐπιτυγχάνομεν ἢ μὴ ἐπιτευξόμεθα, μὴ τούτων ἡμῖν συμβοηθησάντων. ἐκ γὰρ τούτων ἐλεεινοὺς καταστήσομεν ἡμᾶς αὐτούς, καὶ πρὸς τοὺς ἀκούοντας εὖ διαθήσομεν. διαβαλοῦμεν δὲ τοὺς ἀντιδίκους καὶ φθονεῖσθαι ποιήσομεν ἐκ τῶν ἐναντίων τούτοις, ἀποφαίνοντες ὑπὸ τούτων ἢ τῶν τούτοις φίλων τοὺς ἀκούοντας ἢ ὧν αὐτοὶ κήδονται, κακῶς πεπονθότας ἢ πάσχοντας ἢ πεισομένους παρὰ τὸ προσῆκον. ἐκ γὰρ τῶν τοιούτων καὶ μῖσος καὶ ὀργὴν πρὸς αὐτοὺς ἔξουσιν. ἂν δὲ μὴ ταῦτα ἐνδέχηται, συνάξομεν ἐξ ὧν φθόνον τοῖς ἀκούουσι κατὰ τῶν ἐναντίων ἐργασόμεθα· τὸ γὰρ φθονεῖν πλησίον τοῦ μισεῖν ἐστιν. φθονήσονται δὲ συλλήβδην, ἐὰν ἀναξίως αὐτοὺς εὖ πράττοντας ἀποφαίνωμεν καὶ πρὸς τοὺς ἀκούοντας ἀλλοτρίως ἔχοντας, διεξιόντες ὡς ἀγαθὰ πολλὰ πεπόνθασιν ἀδίκως ἢ πάσχουσιν ἢ μέλλουσι πείσεσθαι, ἢ ἀγαθοῦ οὐδέπω πρότερον ἐστερήθησαν ἢ νῦν οὐ στερίσκον-

---

1. ἢ πάλιν — τυγχάνουσι om. B. αὐτοὺς] Fort. ἢ αὐτοὺς.
2. αὐτῶν CM, αὐτοῖς F. 3. τούτους B. 4. αὐτοὺς ἡμᾶς F. δέχηται V. 6. ἔχοντες prG. 8. διεξιόντες om. AEGV. 16. ἢ ὧν] Fort. ἢ αὐτοὺς ἢ ὧν. 21. τὸ] καὶ E. 22. ἀναξίους CEFGV. 23. ἀποφαίνομεν CM. 24. διέξοντες E. 26. οὐδέποτε M. στερήσκονται E, στερίσκοντες M.

ται ἢ οὐ στερήσονται, ἢ κακοῦ οὐδέπω τετυχηκότες ἢ νῦν οὐ τυγχάνοντες ἢ οὐ τευξόμενοι, ἐὰν μὴ νῦν αὐτοὺς οἱ κριταὶ κολάσωσιν. ἐκ τούτων μὲν οὖν ἐν τοῖς ἐπιλόγοις εὐμενῶς μὲν αὐτούς, κακῶς δὲ τοὺς ἐναντίους διαθήσομεν· ἐκ δὲ τῶν προειρημένων ἁπάντων ἐντέχνως καὶ τὰς κατηγορίας καὶ τὰς ἀπολογίας τάξομεν.

37 Τὸ δ' ἐξεταστικὸν εἶδος αὐτὸ μὲν καθ' ἑαυτὸ οὐ πολλάκις συνίσταται, τοῖς δὲ ἄλλοις εἴδεσι μίγνυται, καὶ μάλιστα πρὸς τὰς ἀντιλογίας χρήσιμόν ἐστιν. οὐ μὴν ἀλλ' ὅπως μηδὲ τούτου τὴν τάξιν ἀγνοῶμεν, ἄν ποθ' ἡμῖν λόγον ἢ βίον ἢ πρᾶξιν ἀνθρώπων, ἢ διοίκησιν πόλεως ἐξετάζειν συμβῇ, διέξειμι καὶ περὶ τούτου κεφαλαιωδῶς. προοιμιαστέον μὲν οὖν σχεδὸν ὁμοιοτρόπως τοῖς διαβεβλημένοις καὶ τοῖς ἐξετάζουσι ταῦτα, ὥστε προφάσεις ἐν ἀρχαῖς εὐλόγους ἐνεγκόντες, δι' ἃς δόξομεν εἰκότως τοῦτο ποιεῖν, οὕτως ἐπὶ τὴν ἐξέτασιν ἥξομεν. αἱ τοιαίδε δὲ ἁρμόζουσιν ἐν μὲν τοῖς πολιτικοῖς συλλόγοις, ὡς οὐ φιλονεικίᾳ τὸ τοιοῦτον ποιοῦμεν ἀλλ' ὅπως μὴ λάθῃ τοὺς ἀκούοντας, εἶτα ὅτι ἡμᾶς οὗτοι πρότεροι ἠνώχλησαν· ἐν δὲ τοῖς ἰδίοις ἢ ἔχθραν ἢ τὰ ἤθη τῶν ἐξεταζομένων φαῦλα ὄντα ἢ φιλίαν πρὸς τοὺς ἐξεταζομένους, ἢ ὅπως ἀνέντες ἃ πράττουσι, μηκέτι ταῦτα ποιήσωσιν· ἐν δὲ τοῖς δημοσίοις τὸ νόμιμον τὸ δίκαιον τὸ τῷ κοινῷ συμφέρον. προοιμιασάμενοι δ' ἐκ τούτων καὶ τῶν τούτοις ὁμοιοτρόπων ἐφεξῆς ἕκαστον προ-

---

1. ἢ ante κακοῦ om. CDFM. οὐδέποτε FM. 4. κακῶς δὲ τοὺς om. M. 10. τούτων M. 13. τὰς διαβεβλημένας E. 14. ταύτῃ CFM. προφάσει M. 15. εὐλόγους corr. in ras. E. 16. ἥξωμεν M. αἱ τοιαίδε δὲ ἁρμόζουσιν D et qui ἁρμόσουσιν habet V: αἰτίαι δὲ ἁρμόσουσιν CF et qui ἁρμόζουσιν praebet M, ἁρμόσουσι δὲ αἱ τοιαίδε ceteri. 17. τοιοῦτο ABEG et Bekkerus. φιλονεικίᾳ τοῦτο ποιοῦμεν F. 19. πρότεροι D: πρότερον CFMV, πρώτως ceteri. 20. Fort. ἔχθρα — φιλία. ἔθη] ἤθη Sylburgius. 21. ἢ ὅπως] Fort. ὅπως. 23. τὸ τῷ] καὶ τὸ τῶ C, καὶ τῶ M, τὸ καὶ τῶ D.

τιθέμενοι τῶν ῥηθέντων ἢ πραχθέντων ἢ διανοηθέντων ἐξετάσομεν, ἐνδεικνύντες αὐτὰ καὶ τοῖς δικαίοις καὶ τοῖς νομίμοις καὶ τοῖς ἰδίᾳ καὶ κοινῇ συμφέρουσιν ἐναντιούμενα, καὶ πάντα σκοποῦντες, εἴ που αὐτὰ αὑτοῖς ἐστιν ἐναντία ἢ τοῖς ἤθεσι τῶν χρηστῶν ἀνθρώπων ἢ τοῖς εἰκόσιν. ἵνα δὲ μὴ μηκύνωμεν [τὸν λόγον] καθ' ἓν ἕκαστον λέγοντες, ὅσῳ ἂν πλείοσι τῶν ἐνδόξων ἐπιτηδευμάτων ἢ πραγμάτων ἢ λόγων ἢ ἐθῶν ἐναντιούμενα τὰ τῶν ἐξεταζομένων ἀποφαίνωμεν τοῖς ἀκούουσι, τοσούτῳ μᾶλλον οἱ ἐξεταζόμενοι ἀδοξήσουσιν. δεῖ δὲ πικρῷ τῷ ἤθει μὴ ἐξετάζειν ἀλλὰ πραεῖ· τοῦτον γὰρ τὸν τρόπον οἱ λόγοι γιγνόμενοι πιθανώτεροι φανήσονται τοῖς ἀκούουσιν, οἱ δὲ λέγοντες αὐτοὺς ἥκιστα διαβαλοῦσιν. ὅταν δὲ πάντα ἀκριβῶς ἐξητακὼς αὐξήσῃς αὐτά, παλιλλογίαν ἐπὶ τῇ τελευτῇ σύντομον ποίησον, καὶ τοὺς ἀκροατὰς περὶ τῶν εἰρημένων ἀνάμνησον. τὰ μὲν οὖν εἴδη πάντα τοῦτον τὸν τρόπον τάττοντες ἐντέχνως αὐτοῖς χρησόμεθα.

38 Δεῖ δὲ καὶ λέγοντας καὶ γράφοντας ὅτι μάλιστα πειρᾶσθαι κατὰ τὰ πεπραγμένα τοὺς λόγους ἀποδιδόναι, καὶ συνεθίζειν αὐτοὺς τούτοις ἅπασιν ἐξ ἑτοίμου χρῆσθαι. καὶ περὶ μὲν [οὖν] τοῦ λέγειν ἐντέχνως, καὶ ἐν τοῖς ἰδίοις καὶ ἐν τοῖς κοινοῖς ἀγῶσι κἂν ταῖς πρὸς τοὺς ἄλλους ὁμιλίαις, ἐντεῦθεν πλείστας καὶ τεχνικωτάτας ἀφορμὰς ἕξομεν· χρὴ δὲ καὶ τὴν ἐπιμέλειαν ποιεῖσθαι μὴ μόνον

---

2. *δικαίοις*] *ἰδίοις* **EG**. 4. *πᾶσι* **CMprF**. 6. *δὲ μὴ*] *μὴ δὲ* **M**. *μηκύνωμεν*] *μηκύνω* **D** et corr. **F**, *κύνω* **V**. *τὸν λόγον* om. **CDFMV**. 7. *λέγων* **CDFMV**. *ὅσα* **BG**, *ὅσον* **V**. 8. *τὰ* om. **ABDEGV**. 9. *ἀποφαίνομεν* **CFM**. *τοσοῦτο* **V**. 10. *ἀδοξήσουσιν* **CFM**: *ἀδοξοῦσι* ceteri. *μικρῷ* **M**. 11. *γινόμενοι* **EM**. 13. *αὐτοὺς*] *αὐτοὺς* **EG**, **Buhle**, **Bekkerus**. *διαβαλοῦσιν* **CFV**, **Sylburg.**, **Bekkerus**: *διαβάλουσιν* **D**, *διαβαλλοῦσιν* **M**, *διαβάλλουσιν* ceteri. 14. *αὐξήσεις* **C**. 17. *χρησόμεθα αὐτοῖς* **ABEG**. 20. *συνειθίζειν* **D**. 21. *οὖν* om. **BDEGV** et **Bekkerus**. *καὶ τοῖς ἰδίοις* **E**. 22. *κἂν*] *καὶ* **CEFGM**. 23. *ἐνταῦθα* **DV**. 24. *μὴ*] *οὐ* **F**.

περὶ τοὺς λόγους, ἀλλὰ καὶ περὶ τὸν βίον τὸν αὐτοῦ, διακοσμοῦντα ταῖς ἰδέαις ταῖς εἰρημέναις· συμβάλλεται γὰρ ἡ περὶ τὸν βίον παρασκευὴ καὶ πρὸς τὸ πείθειν καὶ πρὸς τὸ δόξης ἐπιεικοῦς τυγχάνειν.

Πρῶτον μὲν οὖν διελέσθαι χρὴ τὰ πράγματα κατὰ τὴν ὅλην τοῦ παιδεύματος διαίρεσιν, ὅτι πρῶτον ἢ δεύτερον ἢ τρίτον ἢ τέταρτον μεταχειριστέον, εἶτα σαυτοῦ ποιεῖσθαι παρασκευήν, ὥσπερ ἐν τοῖς προοιμίοις διήλθομεν τὰ περὶ τῶν ἀκροατῶν. εὐμενῆ μὲν οὖν τὰ περὶ σεαυτὸν ποιήσεις, ἐὰν οἷς ὁμολογεῖς ἐμμένῃς καὶ διαφυλάττῃς φίλους τοὺς αὐτοὺς διὰ παντὸς τοῦ βίου, καὶ περὶ τῶν ἄλλων ἐπιτηδευμάτων φαίνῃ μὴ μεθιστάμενος, ἀλλ' ἀεὶ τοῖς αὐτοῖς χρώμενος. προσέξουσι δέ σοι, ἐὰν μεγάλας καὶ καλὰς μεταχειρίζῃ [τὰς] πράξεις καὶ τοῖς πολλοῖς συμφερούσας.

Εὐμενεῖς δὲ γενόμενοι, ὅταν ἐπὶ τῶν πράξεων γένῃ, ὅσαι τῶν κακῶν ἀποτροπὴν ἔχουσι τῶν δ' ἀγαθῶν παρουσίαν, ταύτας μὲν ὡς συμφερούσας αὐτοῖς ἀποδέξονται, ὅσαι δὲ τἀναντία παρασκευάζουσιν αὐτοῖς, ταύτας ἀποδοκιμάσουσιν. ἀντὶ δὲ τοῦ ταχεῖαν καὶ σαφῆ καὶ μὴ ἄπιστον τὴν διήγησιν λέγεσθαι τὰς πράξεις δεῖ τοιαύτας ποιεῖσθαι. ταχέως μὲν οὖν ἐπιτελέσεις, ἂν μὴ πάντα πράττειν ἅμα βούλῃ, ἀλλὰ πρότερον τὸ πρῶτον, ἔπειτα τὸ ἑξῆς. καθαρῶς δέ, ἂν μὴ ταχὺ τῆς πράξεως παυόμενος ἄλλα πράγματα μεταχειρίζῃ, πρὶν ταύτην ἐπιτελέσαι. μὴ ἀπίστως δέ, ἂν μὴ παρὰ τὸ ἦθος τὸ σαυτοῦ πράττῃς·

---

2. προειρημέναις **Aldus.** 4. ἐπιεικῆ **C**, ἐπιεικῶς **EG.** 5. διελέσθαι] διαλέγεσθαι **EG.** 10. ὁμολογῆς **CM.** 12. καθιστάμενος **B.** 13. ποι **V.** 14. τὰς **om. EG.** 17. ὅσαι] ὅσαν **D.** δ'] δι' **Aldus.** 19. αὐτῶν **BEG et Bekkerus.** ἀποδοκιμάζουσιν **M et Aldus.** 21. δεῖ **om. M.** τοιαύτας] ταύτας **libri.** 22. ἐὰν **E.** πάντα **post** ἅμα **F.** 23. βούλει **DM.** εἶτα **prE et G.** 26. ἀπίστως] ἄπιστος **libri.** παρὰ] περὶ **DV.**

πρὸς δὲ τούτοις, ἂν μὴ προσποιῇ τοὺς αὐτοὺς ἐχθροὺς καὶ φίλους εἶναί σοι.

Ἐκ δὲ τῶν πίστεων ληψόμεθα, περὶ ὧν μὲν ἐπιστήμην ἔχομεν, κατὰ τὴν ταύτης ἐξήγησιν τὰς πράξεις ἐπιτελεῖν· περὶ ὧν δὲ τυγχάνομεν ἀγνοοῦντες, κατὰ τὸ ὡς ἐπὶ τὸ πολὺ συμβαῖνον· ἀσφαλέστατον γὰρ πράττειν περὶ τῶν οὕτως ἐχόντων πρὸς τὸ εἰωθὸς ἀποβλέποντας.

Εἰς δὲ τὸν πρὸς τοὺς ἀντιδίκους ἀγῶνα ἐν μὲν τοῖς λόγοις ἐκ τῶν λελεγμένων ποιήσομεν βεβαιότητα περὶ ἡμῶν· ἐν δὲ τοῖς συμβολαίοις τοῦτο ποιήσομεν, ἐὰν κατὰ τοὺς νόμους αὐτὰ μεταχειριζώμεθα τοὺς ἀγράφους καὶ τοὺς γεγραμμένους μετὰ μαρτύρων ὡς βελτίστων ὁριζομένοις χρόνοις.

Ἐκ δὲ τοῦ ἐπιλόγου περὶ μὲν τῶν λελεγμένων ἀναμνήσομεν τοὺς ἀκροατάς, τὰ πραχθέντα ἐν κεφαλαίῳ αὖθις εἰπόντες· ἐξ ὧν δὲ πράττομεν, ἀναμνήσομεν οὕτως, ἐπειδὰν τὰς αὐτὰς πράξεις ἢ τὰς ὁμοίας μεταχειριζώμεθα ταῖς προτέραις. φιλικῶς δὲ διακείσονται πρὸς ἡμᾶς, ἐὰν πράττωμεν ἐξ ὧν εὖ πεπονθέναι δόξουσιν ἢ πάσχειν ἢ πείσεσθαι. μεγάλα δὲ πράξομεν, ἐὰν πολλῶν αἰτίας καλῶν πράξεις μεταχειριζώμεθα. καὶ τοῦτον μὲν τὸν τρόπον χρὴ τὰ κατὰ τὸν βίον [αὐτοῦ] παρασκευάζειν, ἐκ

---

2. σοι om. EG. 4. κατὰ] καὶ FMV. τὰς] τὰς δὲ B. 5. κατὰ] κακὰ D. ἐπὶ πολὺ AEG. 7. ἀποβλέποντες ABDEV, ἀποβλέποντα CFM. 9. λελεγμένων CFM: λεγομένων ceteri. βεβαιότατον C. περὶ] παρ' CDFMV. 11. μεταχειριζόμεθα C et Aldus. 12. τοὺς post καὶ om. V. ὁριζόμενοι CDFMV, ὁριζομένοι A. 14. λελεγμένων CFM: λεγομένων ceteri. ἀναμνήσομεν — εἰπόντες om. DVprA, μνημονικοὺς ποιήσομεν ἐκ τοῦ πάλιν λέγειν κεφαλαιωδῶς περὶ τῶν πεπραγμένων FM et qui pro περὶ habet ἐπὶ C. 16. ὧ D. δὲ om. DV. 17. μεταχειριζόμεθα C et Aldus. 18. δὲ om. E. 20. αἰτίας CDFMV: αἰτίους καὶ ceteri. καλῶν] πολλῶν EG. 21. τὰς πράξεις CDFM. 22. τὰ om. BV. αὐτοῦ om. ACDEFGMV.

δὲ τῆς προτέρας συντάξεως περὶ τοὺς λόγους γυμνάζεσθαι.

v. 16. *ἑπτὰ τὸν ἀριθμὸν προθέσεις*] in expositione ipsa non septem, sed quinque; tertia enim secundae, *περὶ νόμων καὶ τῆς πολιτικῆς παρασκευῆς*, quintae sexta adhaeret *περὶ εἰρήνης καὶ πολέμου*, facile igitur librarios hic *ἢ* pro *καὶ* dedisse autoremque non *ἑπτὰ* sed *πέντε* scripsisse coniicias; sed nil mutamus, nam parum differt.

Aristot. Rhet. I, 4 *σχεδὸν γὰρ περὶ ὧν βουλεύονται πάντες καὶ περὶ ἃ ἀγορεύουσιν οἱ συμβουλεύοντες τὰ μέγιστα τυγχάνει πέντε τὸν ἀριθμὸν ὄντα. ταῦτα δ' ἐστὶ περί τε πόρων καὶ πολέμου καὶ εἰρήνης, ἔτι δὲ περὶ φυλακῆς τῆς χώρας καὶ τῶν εἰσαγομένων καὶ ἐξαγομένων καὶ περὶ νομοθεσίας.* ubi vid. quae adnotavimus. Socrates apud Xenoph. Memorab. III, 6 Glauconem a republica capessenda avertens praeter *νομοθεσίαν* eadem quae Aristoteles atque eodem ordine enumerat. autor Alcib. II p. 285 (144 seq.) *οὐκοῦν οἱ ῥήτορες αὐτίκα ἤτοι εἰδότες ξυμβουλεύειν ἢ οἰηθέντες εἰδέναι ξυμβουλεύουσιν ἡμῖν ἑκάστοτε, οἱ μὲν περὶ πολέμου τε καὶ εἰρήνης, οἱ δὲ περὶ τειχῶν οἰκοδομίας ἢ λιμένων κατασκευῆς· ἐνὶ δὲ λόγῳ ὅσα δήποτε ἡ πόλις πράττει πρὸς ἄλλην πόλιν ἢ αὐτὴ καθ' αὑτήν, ἀπὸ τῆς τῶν ῥητόρων ξυμβουλῆς ἅπαντα γίγνεται.* Demosthenes de corona §. 309 quae bonum civem facere deceat examinans Aeschinem nihil confecisse dicit, ibique haec recenset: *καίτοι ταύτης τῆς μελέτης καὶ τῆς ἐπιμελείας, Αἰσχίνη, εἴπερ ἐκ ψυχῆς δικαίας ἐγίγνετο καὶ τὰ τῆς πατρίδος συμφέροντα προῃρημένης, τοὺς καιροὺς ἔδει*

καλοὺς καὶ γενναίους καὶ πᾶσιν ὠφελίμους εἶναι, συμμαχίας πόλεων, πόρους χρημάτων, ἐμπορίου κατασκευήν, νόμων συμφερόντων θέσεις, τοῖς ἀποδειχθεῖσιν ἐχθροῖς ἐναντιώματα... τίς γὰρ συμμαχία σοῦ πράξαντος γέγονε τῇ πόλει; τίς δὲ βοήθεια ἢ κτῆσις εὐνοίας ἢ δόξης; τίς δὲ πρεσβεία, τίς διακονία, δι' ἣν ἡ πόλις ἐντιμοτέρα γέγονε; τί τῶν οἰκείων ἢ τῶν Ἑλληνικῶν καὶ ξενικῶν οἷς ἐπέστης ἐπηνώρθωται διὰ σέ; ποῖαι τριήρεις, ποῖα βέλη, ποῖοι νεώσοικοι, τίς ἐπισκευὴ τειχῶν; ποῖον ἱππικόν; τί τῶν ἁπάντων σὺ χρήσιμος εἶ; τίς τοῖς εὐπόροις ἢ τοῖς ἀπόροις πολιτικὴ καὶ κοινὴ βοήθεια χρημάτων παρὰ σοῦ; οὐδεμία. Similia ipsi Demostheni exprobrantur a Dinarcho qui et *ἱερὰ* addidit §. 96 *ποῖαι γὰρ τριήρεις εἰσὶ κατεσκευασμέναι διὰ τοῦτον ὥσπερ ἐπὶ Εὐβούλου τῇ πόλει, ἢ ποῖοι νεώσοικοι τούτου πολιτευομένου γεγόνασι; πότε οὗτος ἢ διὰ ψηφίσματος ἢ νόμου ἐπηνώρθωσε τὸ ἱππικόν; τίνα κατεσκεύασε δύναμιν τοιούτων καιρῶν παραγενομένων μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην ἢ πεζὴν ἢ ναυτικήν; τίς ἀνενήνεκται τῇ θεῷ κόσμος εἰς ἀκρόπολιν ὑπὸ τούτου; τί κατεσκεύασε Δημοσθένης οἰκοδόμημα ἐν τῷ ἐμπορίῳ τῷ ὑμετέρῳ ἢ ἐν τῷ ἄστει ἢ ἄλλοθί που τῆς χώρας; οὐδεὶς ἂν οὐδαμοῦ δείξειεν.*

v. 26. *περὶ μὲν οὖν ἱερῶν περιττῶς ἀναγκαῖον λέγειν*] ineptum istud *περιττῶς*, optime Bekkerus *an τριττῶς*? **quod recepimus.**

p. 11 v. 1. *ὡς τὰ καθεστῶτα διαφυλακτέον*] **Isocrat. Areopag. §. 29** *καὶ πρῶτον μὲν τὰ περὶ τοὺς θεοὺς (ἐντεῦθεν γὰρ ἄρχεσθαι δίκαιον) οὐκ ἀνωμάλως οὐδ' ἀτάκτως οὔτ' ἐθεράπευον οὔτ' ὠργίαζον· οὐδ' ὁπότε μὲν δόξειεν αὐτοῖς, τριακοσίους βοῦς ἔπεμπον, ὁπότε δὲ τύχοιεν, τὰς πατρίους θυσίας ἐξέλειπον· οὐδὲ τὰς μὲν ἐπιθέτους ἑορτὰς αἷς ἑστίασίς τις προσείη, μεγαλοπρεπῶς ἦγον, ἐν δὲ τοῖς ἁγιωτάτοις τῶν ἱερῶν ἀπὸ μισθωμάτων ἔθυον·*

ἀλλ' ἐκεῖνο μόνον ἐτήρουν, ὅπως μηδὲν μήτε τῶν πατρίων καταλύσουσι μήτ' ἔξω τῶν νομιζομένων προσθήσουσιν. οὐ γὰρ ἐν ταῖς πολυτελείαις ἐνόμιζον εἶναι τὴν εὐσέβειαν, ἀλλ' ἐν τῷ μηδὲν κινεῖν ὧν αὐτοῖς οἱ πρόγονοι παρέδοσαν. καὶ γάρ τοι καὶ τὰ παρὰ τῶν θεῶν οὐκ ἐμπλήκτως οὐδὲ ταραχωδῶς αὐτοῖς συνέβαινεν, ἀλλ' εὐκαίρως καὶ πρὸς τὴν ἐργασίαν τῆς χώρας καὶ πρὸς τὴν συγκομιδὴν τῶν καρπῶν. ad Nicocl. §. 20 τὰ πρὸς τοὺς θεοὺς ποίει μὲν ὡς οἱ πρόγονοι κατέδειξαν, ἡγοῦ δὲ θῦμα τοῦτο κάλλιστον εἶναι καὶ θεραπείαν μεγίστην, ἐὰν ὡς βέλτιστον καὶ δικαιότατον σαυτὸν παρέχῃς· μᾶλλον γὰρ ἐλπὶς τοὺς τοιούτους ἢ τοὺς ἱερεῖα πολλὰ καταβάλλοντας πράξειν τι παρὰ τῶν θεῶν ἀγαθόν. Imprimis vero animadvertendus est Lysiae locus XXX, 17—23 contra Nicomachum, qui plura quam reipublicae inopia concederet in sacra impendenda esse tulit; in eum orator more suo τεχνικώτατα hunc in modum invehitur: πυνθάνομαι δὲ αὐτὸν λέγειν ὡς ἀσεβῶ καταλύων τὰς θυσίας. ἐγὼ δὲ εἰ μὲν νόμους ἐτίθην περὶ τῆς ἀναγραφῆς, ἡγούμην ἂν ἐξεῖναι Νικομάχῳ τοιαῦτα εἰπεῖν περὶ ἐμοῦ· νῦν δὲ τοῖς κοινοῖς καὶ κειμένοις ἀξιῶ τοῦτον πείθεσθαι. θαυμάζω δὲ εἰ μὴ ἐνθυμεῖται, ὅταν ἐμὲ φάσκῃ ἀσεβεῖν λέγοντα ὡς χρὴ θύειν τὰς θυσίας τὰς ἐκ τῶν κύρβεων καὶ τῶν στηλῶν κατὰ τὰς συγγραφάς, ὅτι καὶ τῆς πόλεως κατηγορεῖ· ταῦτα γὰρ ὑμεῖς ἐψηφίσασθε. ἔπειτα εἰ ταῦτα νομίζεις δεινά, ἦ που σφόδρα ἐκείνους ἡγῇ ἀσεβεῖν οἳ τὰ ἐκ τῶν κύρβεων μόνον ἔθυον. καίτοι ὦ ἄνδρες δικασταὶ περὶ εὐσεβείας οὐ παρὰ Νικομάχου μανθάνειν χρή, ἀλλ' ἐκ τῶν γεγενημένων σκοπεῖν. οἱ τοίνυν πρόγονοι τὰ ἐκ τῶν κύρβεων θύοντες μεγίστην καὶ εὐδαιμονεστάτην τῶν Ἑλληνίδων τὴν πόλιν παρέδοσαν, ὥστ' ἄξιον ἡμῖν

τὰς αὐτὰς ἐκείνοις θυσίας ποιεῖσθαι, καὶ εἰ μηδὲν δι' ἄλλο, τῆς τύχης ἕνεκα τῆς ἐξ ἐκείνων τῶν ἱερῶν γεγενημένης.

ἢ ὡς ἐπὶ τὸ μεγαλοπρεπέστερόν πως ἢ ὡς ἐπὶ τὸ ταπεινότερον] abundat ΠΩΣ nec aliud est, nisi falsa lectio, recte mutata in ΗΩΣ, ut infra ὁσίως et θείως, sed verbum desideratur nec ex iis quae praecedunt, intelligi potest; inserendum igitur δεῖ μεθιστάναι vel simile quid.

v. 4. ἐκ μὲν δικαίου λέγοντες] desideratur secundum ἐκ δὲ τοῦ νομίμου ὅτι . . . legibus sancitum esse, ne sacra negligantur aut mutentur; fortasse propter verborum similitudinem haec exciderunt, quamvis et δίκαιον et νόμιμον arcte nectantur, ut facile negligere potuerit auctor; plures locos Lysias coniunxit l. l. §. 19 πῶς δ' ἄν τις εὐσεβέστερος γένοιτο ἐμοῦ ὅστις ἀξιῶ πρῶτον μὲν κατὰ τὰ πάτρια θύειν, ἔπειτα ἃ μᾶλλον συμφέρει τῇ πόλει, ἔτι δὲ ἃ ὁ δῆμος ἐψηφίσατο καὶ δυνησόμεθα δαπανᾶν ἐκ τῶν προσιόντων χρημάτων; σὺ δὲ ὦ Νικόμαχε τούτων τἀναντία πεποίηκας . . . ἐνθυμεῖσθε τοίνυν ὦ ἄνδρες δικασταὶ ὅτι ὅταν μὲν κατὰ τὰς συγγραφὰς ποιῶμεν, ἅπαντα τὰ πάτρια θύεται, ἐπειδὰν δὲ κατὰ τὰς στήλας ἃς οὗτος ἀνέγραψε, πολλὰ τῶν ἱερῶν καταλύεται. Demosth. exord. 54 καὶ δίκαιον ὦ ἄ. Ἀ. καὶ καλὸν καὶ σπουδαῖον, ὅπερ ὑμεῖς εἰώθατε, καὶ ἡμᾶς προνοεῖν, ὅπως τὰ πρὸς τοὺς θεοὺς εὐσεβῶς ἕξει. κτλ.

v. 9. ἐκ δὲ τοῦ συμφέροντος] Lysias l. l. §. 22 ἐν δυοῖν μὲν ἐτοῖν πλείω ἤδη τοῦ δέοντος δώδεκα ταλάντοις ἀνάλωσε, παρ' ἕκαστον δὲ τὸν ἐνιαυτὸν ἐπεχείρησεν ἓξ ταλάντοις τὴν πόλιν ζημιῶσαι, καὶ ταῦτα ὁρῶν αὐτὴν ἀποροῦσαν χρημάτων καὶ Λακεδαιμονίους μὲν ἀπειλοῦντας, ὅταν μὴ ἀποπέμψωμεν αὐτοῖς τὰ χρήματα, Βοιωτοὺς δὲ σῦλα ποιουμένους, ὅτι οὐ δυνάμεθα δύο τάλαντα ἀποδοῦναι, τοὺς δὲ νεωσοίκους καὶ τὰ τείχη περικαταῤῥέοντα κτλ.

v. 18. *ἐκ δὲ τοῦ δυνατοῦ*] vid. Lysiae verba supra allata.

v. 25. *ὅτι τὸ προστιθέναι τοῖς ὑπάρχουσιν οὐ καταλύειν ἐστίν*] hoc est ex definitione; aliam rationem secutus est Nicomachus ap. Lysiam §. 21 *λέγων ὡς εὐσέβειαν ἀλλ' οὐκ εὐτέλειαν ἀνέγραψε* et adversarium *καταλύειν τὰς θυσίας* dixit.

v. 26. *ἔπειθ' ὡς καὶ τοὺς θεοὺς εἰκὸς εὐνουστέρους εἶναι τοῖς μᾶλλον αὐτοὺς τιμῶσιν*] Isocrat. Antid. §. 282 *χρὴ δὲ καὶ νῦν πλέον ἔχειν ἡγεῖσθαι καὶ πλεονεκτήσειν νομίζειν παρὰ μὲν τῶν θεῶν τοὺς εὐσεβεστάτους καὶ τοὺς περὶ τὴν θεραπείαν τὴν ἐκείνων ἐπιμελεστάτους ὄντας.*

p. 12 v. 5. *ἔπειθ' ὡς καὶ ἐπὶ τῶν λοιπῶν*] non novum est argumentum, sed quod praecedit hoc exemplo confirmatur, quare pro *ἔπειθ' ὡς* reponendum esse videtur *ἐπεὶ*.

v. 10. *τί πράττοντες χεῖρον οἱ πολῖται τυγχάνουσι νῦν ἢ πρότερον*] ne *τυγχάνουσι* participio careat, *πράττοντες* huc referas, ut sit, *διότι νῦν χεῖρον πράττοντες τυγχάνουσι*, at cum hoc verborum positio aegre admittat, Philelphi codex succurrit qui exhibet graecam constructionem *τί πράττοντες χεῖρον οἱ πολῖται ἔχουσι νῦν ἢ πρότερον;*

v. 12. *ἔπειθ' ὡς οὐκ εἰκὸς τοὺς θεοὺς χαίρειν ταῖς δαπάναις τῶν θυομένων ἀλλὰ ταῖς εὐσεβείαις τῶν θυόντων*] Isocrat. ad Demon. §. 13 *πρῶτον μὲν οὖν εὐσέβει τὰ πρὸς τοὺς θεοὺς μὴ μόνον θύων, ἀλλὰ καὶ τοῖς ὅρκοις ἐμμένων· ἐκεῖνο μὲν γὰρ τῆς τῶν χρημάτων εὐπορίας σημεῖον, τοῦτο δὲ τῆς τῶν τρόπων καλοκαγαθίας τεκμήριον.*

v. 22. *πρὸς μὲν τοὺς θεοὺς ὁσίως καὶ θείως*] ita Graeci non dicunt, *ΘΕΙΩΣ* nihil aliud est nisi *ΟΣΙΩΣ*. eadem ratione in Dinarch. II, 20 *τὴν θείαν ψῆφον* recte mutarunt in *ὁσίαν*, similiterque supra varietatem *πως* et *ἢ ὡς* receptam vidimus. haec verba *καὶ θείως* et in expositione desunt et concinnitatem turbant, denique desunt in fragmento ex quo libenter hunc ordinem restituam: *πρὸς δὲ τὰς θεωρίας*

λαμπρῶς, πρὸς δὲ τοὺς πολέμους ὠφελίμως. ibi bis τοὺς πολίτας exstat, ut supra fuit καὶ ὅτι πρὸς εὐτολμίαν λυσιτελεῖ τοῖς πολίταις, ἐπεὶ συμπομπευόντων κτλ., sed id ne probem, obstat, quod haud dubie, si hoc voluisset auctor, τοῖς δὲ πολίταις scripsisset.

λαμπρῶς] Isocr. Nicocl. §. 56. περὶ ζεύγους §. 34.

p. 13 v. 11. περὶ δὲ νόμων πάλιν καὶ τῆς πολιτικῆς κατασκευῆς] Arist. Rhet. I, 4.

v. 15. ἐν ταῖς δημοκρατίαις] Isocrat. Areopag. §. 20 seqq. veteris democratiae statum describens: ᾤκουν τὴν πόλιν οὐκ ἐξ ἁπάντων τὰς ἀρχὰς κληροῦντες, ἀλλὰ τοὺς βελτίστους καὶ ἱκανωτάτους ἐφ' ἕκαστον τῶν ἔργων προκρίνοντες. τοιούτους γὰρ ἤλπιζον ἔσεσθαι καὶ τοὺς ἄλλους οἱοίπερ ἂν ὦσιν οἱ τῶν πραγμάτων ἐπιστατοῦντες. ἔπειτα καὶ δημοτικωτέραν ἐνόμιζον εἶναι ταύτην τὴν κατάστασιν ἢ τὴν διὰ τοῦ λαγχάνειν γιγνομένην. ἐν μὲν γὰρ τῇ κληρώσει τὴν τύχην βραβεύσειν καὶ πολλάκις λήψεσθαι τὰς ἀρχὰς τοὺς ὀλιγαρχίας ἐπιθυμοῦντας, ἐν δὲ τῷ προκρίνειν τοὺς ἐπιεικεστάτους τὸν δῆμον ἔσεσθαι κύριον ἑλέσθαι τοὺς ἀγαπῶντας μάλιστα τὴν καθεστῶσαν πολιτείαν. et quae alia ibi felici quondam Atheniensium statu fuisse finguntur. ad Nicocl. §. 16 μελέτω σοι τοῦ πλήθους καὶ περὶ παντὸς ποιοῦ κεχαρισμένως αὐτοῖς ἄρχειν, γιγνώσκων ὅτι καὶ τῶν ὀλιγαρχιῶν καὶ τῶν ἄλλων πολιτειῶν αὗται πλεῖστον χρόνον διαμένουσιν αἵτινες ἂν ἄριστα τὸ πλῆθος θεραπεύωσιν. καλῶς δὲ δημαγωγήσεις, ἐὰν μήθ' ὑβρίζειν τὸν ὄχλον ἐᾷς μήθ' ὑβριζόμενον περιορᾷς, ἀλλὰ σκοπῇς ὅπως οἱ βέλτιστοι μὲν τὰς τιμὰς ἕξουσιν, οἱ δ' ἄλλοι μηδὲν ἀδικήσονται· ταῦτα γὰρ στοιχεῖα πρῶτα καὶ μέγιστα χρηστῆς πολιτείας ἐστίν.

Legem reipublicae utilem ab autore nostro traditam, ut αἱ μικραὶ et αἱ πολλαὶ ἀρχαὶ sint κληρωταί, at

μέγισται χειροτονηταί, in Aristotelis politicis non invenies.

v. 17. *τὰς δὲ μεγίστας χειροτονητὰς ἀπὸ τοῦ πλήθους*] cum sensus sit: magistratus a populo mandatos, dicit enim *δῆμος κύριος ὢν διδόναι τὰς τιμάς*, non e populo, iure Sylburgius usitatiorem dixit constructionem *ὑπὸ* in his loquendi generibus; paululum diversum est sequens *τιμαί τινες ἀπὸ τῶν νόμων ἀφωρισμέναι*.

v. 19. *οὐ φθονήσει*] vid. Isocrat. Areopag. §. 24—27. Panath. §. 145—8.

p. 14 v. 2. *τοῦτο δὲ οὕτως ἂν κατασκευάσειεν εἰ τοῖς*] ita omnes libri, at subiectum est *οἱ νόμοι*, ergo *κατασκευάσειαν* aut *κατασκευάσαιεν* scribendum est, ut cap. 20 *τολμήσαιεν*.

v. 3. *ἀντὶ τῶν εἰς τὸ κοινὸν δαπανωμένων τιμαί τινες*] Isocrat. Panath. §. 145 *περὶ δὲ τοὺς αὐτοὺς χρόνους καθίστασαν ἐπὶ τὰς ἀρχὰς τοὺς προκριθέντας ὑπὸ τῶν φυλετῶν καὶ δημοτῶν, οὐ περιμαχήτους αὐτὰς ποιήσαντες οὐδ' ἐπιθυμίας ἀξίας, ἀλλὰ πολὺ μᾶλλον λειτουργίαις ὁμοίας ταῖς ἐνοχλούσαις μὲν οἷς ἂν προσταχθῶσι, τιμὴν δέ τινα περιτιθείσαις αὐτοῖς*, κτλ. Aristot. Ethic. Nicom. VIII, 16.

v. 5. *τοὺς τὴν χώραν ἐργαζομένους καὶ ναυκληροῦντας τῶν ἀγοραίων μᾶλλον προτιμῷεν*] Aristot. Polit. VI, 4. IV, 4.

v. 8. *οὐ συκοφαντίας ἀλλ' ἐργασίας ἐπιθυμήσῃ*] Isocrat. Areopag. §. 24 *αἴτιον δ' ἦν τοῦ ταῦτα τοῖς πολλοῖς ἀρέσκειν καὶ μὴ περιμαχήτους εἶναι τὰς ἀρχάς, ὅτι μεμαθηκότες ἦσαν ἐργάζεσθαι καὶ φείδεσθαι καὶ μὴ τῶν μὲν οἰκείων ἀμελεῖν τοῖς δ' ἀλλοτρίοις ἐπιβουλεύειν* κτλ. conf. §. 31 seqq. ad Nicocl. §. 18.

v. 12. *τοῖς ἐν πολέμῳ τελευτῶσιν εἰς ταφήν*] vid. interpr. ad Thucyd. II, 34. Pseudodem. Epitaph. §. 2. Hype-

ridis epit. ap. Stob. CXXIV, 36. Menexenus pag. 248 seq. Aeschin. in Ctesiphont. §. 154 p. 75.

v. 13. *ἀφωρισμένον*] sic libri omnes, veneta *ἀφωρεῖσθαι*, unde ceteri *ἀφωρίσθαι* scripserunt; sed potius cum Sylburgio scribendum *εἶναι ἀφωρισμένον*, sic fine capitis *εἶναι προστεταγμένον*.

v. 20. *δεῖ δὲ τὰς ζημίας ἐν τῇ ὀλιγαρχίᾳ μεγίστας ἐπικεῖσθαι*] Aristot. Polit. IV, 13 pag. 1297 b 6 *ἐθέλουσι γὰρ οἱ πένητες καὶ μὴ μετέχοντες τῶν τιμῶν ἡσυχίαν ἔχειν, ἐὰν μὴ ὑβρίζῃ τις αὐτοὺς μήτε ἀφαιρῆται μηθὲν τῆς οὐσίας. ἀλλὰ τοῦτο οὐ ῥᾴδιον· οὐ γὰρ ἀεὶ συμβαίνει χαρίεντας εἶναι τοὺς μετέχοντας τοῦ πολιτεύματος.* unde maxime oligarchiae status funditus evertitur V, 6 *ἐὰν ἀδικῶσι τὸ πλῆθος· πᾶς γὰρ ἱκανὸς γίνεται προστάτης, μάλιστα δ' ὅταν ἐξ αὐτῆς συμβῇ τῆς ὀλιγαρχίας γίνεσθαι τὸν ἡγεμόνα.* Aliud observat Aristot. V, 8 p. 1308 b 34 *μέγιστον δὲ ἐν πάσῃ πολιτείᾳ τὸ καὶ τοῖς νόμοις καὶ τῇ ἄλλῃ οἰκονομίᾳ οὕτω τετάχθαι ὥστε μὴ εἶναι τὰς ἀρχὰς κερδαίνειν. τοῦτο δὲ μάλιστα ἐν ταῖς ὀλιγαρχικαῖς δεῖ τηρεῖν. οὐ γὰρ οὕτως ἀγανακτοῦσιν εἰργόμενοι τοῦ ἄρχειν οἱ πολλοί, ἀλλὰ καὶ χαίρουσιν ἐάν τις ἐᾷ πρὸς τοῖς ἰδίοις σχολάζειν, ὡς ἐὰν οἴωνται τὰ κοινὰ κλέπτειν τοὺς ἄρχοντας. τότε δὲ ἀμφότερα λυπεῖ, τό τε τῶν τιμῶν μὴ μετέχειν καὶ τὸ τῶν κερδῶν.* conf. Lysiae XXI, 12 *καὶ οὐ τοσοῦτόν μοι μέλει εἴ με δεῖ τὰ ὄντα ἀπολέσαι, ἀλλ' οὐκ ἂν δεξαίμην ὑβρισθῆναι.*

v. 23. *χρὴ δὲ καὶ τὰς διαφορὰς τῶν πολιτῶν ὅτι τάχιστα διαλύειν καὶ μὴ χρονίζεσθαι*] Arist. Polit. V, 4 pag. 1303 b 27 de hac re: *διόπερ ἀρχομένων εὐλαβεῖσθαι δεῖ τῶν τοιούτων, καὶ διαλύειν τὰς τῶν ἡγεμόνων καὶ δυναμένων στάσεις· ἐν ἀρχῇ γὰρ γίνεται τὸ ἁμάρτημα, ἡ δ' ἀρχὴ λέγεται ἥμισυ εἶναι παντός.* ibidem V, 8 p. 1308, 31 *ἔτι τὰς τῶν γνωρίμων φιλονεικίας καὶ στάσεις καὶ διὰ τῶν*

νόμων πειρᾶσθαι δεῖ φυλάττειν καὶ τοὺς ἔξω τῆς φιλονεικίας ὄντας, πρὶν παρειληφέναι καὶ αὐτούς, ὡς τὸ ἐν ἀρχῇ γινόμενον κακὸν γνῶναι οὐ τοῦ τυχόντος ἀλλὰ πολιτικοῦ ἀνδρός. Isocrat. ad Nicocl. §. 17 *ζήτει νόμους τὸ μὲν σύμπαν δικαίους καὶ συμφέροντας καὶ σφίσιν αὐτοῖς ὁμολογουμένους, πρὸς δὲ τούτοις οἵ τινες τὰς μὲν ἀμφισβητήσεις ὡς ἐλαχίστας τὰς δὲ διαλύσεις ὡς οἷόν τε τάχιστα τοῖς πολίταις ποιοῦσι· ταῦτα γὰρ ἅπαντα προσεῖναι δεῖ τοῖς καλῶς κειμένοις νόμοις.*

p. 15 v. 1. *δεῖ τοὺς νόμους ἐν μὲν ταῖς δημοκρατίαις*] Aristot. Polit. V, 8 p. 1309, 14—31 *δεῖ δ' ἐν μὲν ταῖς δημοκρατίαις τῶν εὐπόρων φείδεσθαι, μὴ μόνον τὰς κτήσεις μὴ ποιεῖν ἀναδάστους, ἀλλὰ μηδὲ τοὺς καρπούς... ἐν δ' ὀλιγαρχίᾳ τῶν ἀπόρων ἐπιμέλειαν ποιεῖσθαι πολλὴν καὶ τὰς ἀρχὰς ἀφ' ὧν λήμματα τούτοις ἀπονέμειν, κἂν τις ὑβρίσῃ τῶν εὐπόρων εἰς τούτους, μείζω τὰ ἐπιτίμια εἶναι ἢ ἂν σφῶν αὐτῶν κτλ.*

v. 7. *δεῖ δὲ τὸν συναγορεύειν ἐθέλοντα νόμῳ*] Themistius pag. 42 Dind. *καὶ οὖν ἐπειδὴ τοὺς νόμους παρέσχημαι τῷ δικαστηρίῳ, καὶ τὰ ἑφεξῆς μιμητέον μοι τοὺς ῥήτορας καὶ δεικτέον ὡς καλοὶ οἱ νόμοι καὶ ἀληθινοὶ καὶ ξυμφέροντες.*

v. 13. *ἀντιλέγοντα δὲ σκοπεῖν*] Andocides in Alcibiadem §. 3—6 ubi sex argumentis *ὀστρακισμοῦ* lex impugnatur; Demosthenes adv. Leptin.

εἰ μὴ κοινὸς ὁ νόμος] Andocid. l. l. §. 4 *εἶτα ἐν τοῖς τοιούτοις οἱ τοὺς ἑταίρους καὶ συνωμότας κεκτημένοι πλέον φέρονται τῶν ἄλλων· οὐ γὰρ ὥσπερ ἐν τοῖς δικαστηρίοις οἱ λαχόντες κρίνουσιν, ἀλλὰ τούτου τοῦ πράγματος ἅπασιν Ἀθηναίοις μέτεστιν.*

v. 14. *ἔπειτα εἰ μὴ τοῖς ἄλλοις ὁμολογῶν ἀλλ' ὑπεναντίος ἔσται*] Demosth. adv. Lept. §. 155 *ὁ τοίνυν νόμος οὗτος ὁ Λεπτίνου οὐ μόνον ὦ ἄ. Ἀ. τοῦτ' ἀδικεῖ ὅτι τὰς*

τιμὰς ἀναιρῶν τῶν εὐεργεσιῶν ἀχρεῖον τὴν ἐπιείκειαν τοῖς φιλοτιμεῖσθαι βουλομένοις καθίστησιν, ἀλλ' ὅτι καὶ παρανομίας δόξαν αἰσχίστην τῇ πόλει καταλείπει. ἵστε γὰρ δήπου τοῦθ' ὅτι τῶν τὰ δεινότατ' ἡμᾶς ἀδικούντων ἓν ἑκάστῳ τίμημ' ὑπάρχει διὰ τὸν νόμον ὃς διαῤῥήδην λέγει μηδὲ τίμημ' ὑπάρχειν ἐπὶ κρίσει πλέον ἢ ἓν ὁπότερον ἂν τὸ δικαστήριον τιμήσῃ, παθεῖν ἢ ἀποτῖσαι. ἀλλ' οὐχ ἐχρήσατο τούτῳ τῷ μέτρῳ, ἀλλ' ἐάν τις ἀπαιτήσῃ χάριν ὑμᾶς, ἄτιμος ἔστω φησὶ καὶ ἡ οὐσία δημοσία ἔστω. δύο τιμήματα ταῦτα. εἶναι δὲ καὶ ἐνδείξεις καὶ ἀπαγωγάς, ἐὰν δ' ἁλῷ, ἔνοχος ἔστω τῷ νόμῳ ὃς κεῖται, ἐάν τις ὀφείλων ἄρχῃ τῷ δημοσίῳ, θάνατον λέγει. τοῦτο γάρ ἐστιν ἐπ' ἐκείνῳ τὸ ἐπιτίμιον. οὐκοῦν τρία τιμήματα ταῦτα. πῶς οὖν οὐ σχέτλιον καὶ δεινὸν ὦ ἄ. Ἀ. εἰ χαλεπώτερον εἶναι παρ' ὑμῖν δόξει χάριν εὖ ποιήσαντα ἀπαιτεῖν ἢ τὰ δεινότατα ἐργαζόμενον ληφθῆναι. Andoc. §. 3 *ἄξιον δὲ μέμψασθαι τὸν θέντα τὸν νόμον ὃς ἐναντία τῷ ὅρκῳ τοῦ δήμου καὶ τῆς βουλῆς ἐνομοθέτησεν· ἐκεῖ μὲν γὰρ ὄμνυτε μηδένα μήτε ἐξελᾶν μήτε δήσειν μήτε ἀποκτενεῖν ἄκριτον, ἐν δὲ τῷδε τῷ καιρῷ οὔτε κατηγορίας γενομένης οὔτε ἀπολογίας ἀποδοθείσης διαψηφισαμένων κρύβδην τὸν ὀστρακισθέντα τοσοῦτον χρόνον δεῖ στερηθῆναι τῆς πόλεως.*

v. 15. *ἐπὶ τούτοις εἰ μὴ πρὸς μηδὲν τῶν εἰρημένων συμφέρων ἀλλὰ τοὐναντίον βλαβερός*] quod Demosth. adv. Lept. per totam orationem docere studet, fine autem §. 163 summatim dicta comprehendit.

v. 17. *καὶ τῆς κοινῆς κατασκευῆς*] mirum, si auctor hoc loco mutaverit nec quod supra semper, etiam hic *πολιτικῆς* scripserit, quamvis *κοινῆς* idem significet, ut Demosth. de coron. §. 311 *πολιτικὴ καὶ κοινὴ βοήθεια.*

v. 18. *περὶ δὲ συμμάχων καὶ τῶν πρὸς τὰς ἄλλας πόλεις συμβολαίων διελθεῖν ἐπιχειρήσομεν*] puto auctorem

hic idem quod supra scripsisse *τῶν συμμαχιῶν τῶν πρὸς τὰς ἄλλας πόλεις καὶ συμβολαίων.*

v. 20. *τὰ μὲν οὖν συμβόλαια καὶ τὰς τάξεις*] *τάξεις* quid velint hoc loco, non video, neque si cum EG *πράξεις* reponamus multum proficimus; male enim quum in propositione sola *συμβόλαια* dicantur, novum hic additur. an fuit *κατὰ τάξεις ἀναγκαῖον καὶ συνθήκας*?

p. 16 v. 1. *δεῖ δὲ ὅταν συναγορεύειν βούλῃ τῇ γινομένῃ συμμαχίᾳ*] Demosth. oratt. Olynth. pro Rhodiorum libert. pro Megalopol. Isocratis Plataicos, Philippus §. 30 — 82. Thucydidis Corcyraeorum oratio I, 32 — 36. Corinthiorum I, 37 — 43. Hermocratis VI, 76 — 80. Euphemi VI, 82 — 7.

v. 2. *τὸν καιρὸν τοιοῦτον ὑπάρχοντα ἐμφανίζειν*] Demosth. Olynth. I §. 7 seqq. *νυνὶ γὰρ ὃ πάντες ἐθρυλεῖτε, ὡς Ὀλυνθίους ἐκπολεμῶσαι δεῖ Φιλίππῳ, γέγονεν αὐτόματον, καὶ ταῦθ' ὡς ἂν ὑμῖν μάλιστα συμφέροι. εἰ μὲν γὰρ ὑφ' ὑμῶν πεισθέντες ἀνείλοντο τὸν πόλεμον, σφαλεροὶ σύμμαχοι καὶ μέχρι του ταῦτ' ἂν ἐγνωκότες ἦσαν ἴσως· ἐπειδὴ δὲ ἐκ τῶν πρὸς αὐτοὺς ἐγκλημάτων μισοῦσι, βεβαίαν εἰκὸς τὴν ἔχθραν αὐτοὺς ὑπὲρ ὧν φοβοῦνται καὶ πεπόνθασιν ἔχειν. οὐ δεῖ δὴ τοιοῦτον ὦ ἄ. Ἀ. παραπεπτωκότα καιρὸν ἀφεῖναι οὐδὲ παθεῖν ταὐτὸν ὅπερ ἤδη πολλάκις πρότερον πεπόνθατε... νυνὶ δὴ καιρός τις ἥκει οὗτος ὁ τῶν Ὀλυνθίων αὐτόματος τῇ πόλει, ὃς οὐδενός ἐστιν ἐλάττων τῶν πρότερον ἐκείνων κτλ.* conf. III §. 7 seqq. Corinthii Athenienses adiuvisse *εὐεργεσίᾳ* dicunt I, 41, *καὶ ἐν καιροῖς τοιούτοις ἐγένετο οἷς μάλιστα ἄνθρωποι ἐπ' ἐχθροὺς τοὺς σφετέρους ἰόντες τῶν πάντων ἀπερίοπτοί εἰσι παρὰ τὸ νικᾶν. φίλον τε γὰρ ἡγοῦνται τὸν ὑπουργοῦντα, ἢν καὶ πρότερον ἐχθρὸς ᾖ, πολέμιόν τε τὸν ἀντιστάντα ἢν καὶ τύχῃ φίλος ὤν,* et paulo post cap. 42 *ἡ γὰρ τελευταία χάρις καιρὸν ἔχουσα κἂν ἐλάσσων ᾖ, δύναται μεῖζον ἔγκλημα λῦσαι,* unde concludunt

cap. 43 *τὸ δ' ἴσον ἀνταπόδοτε γνόντες τοῦτον ἐκεῖνον εἶναι τὸν καιρόν, ἐν ᾧ ὅ τε ὑπουργῶν φίλος μάλιστα καὶ ὁ ἀντιστὰς ἐχθρός.*

v. 5. *καὶ δύναμιν μεγάλην ἔχοντας καὶ πλησίον τοῖς τόποις κατοικοῦντας*] Demosth. Olynth. II. init. *τὸ γὰρ τοὺς πολεμήσοντας Φιλίππῳ γεγενῆσθαι καὶ χώραν ὅμορον καὶ δύναμίν τινα κεκτημένους, καὶ τὸ μέγιστον ἁπάντων τὴν ὑπὲρ τοῦ πολέμου γνώμην τοιαύτην ἔχοντας, ὥστε τὰς πρὸς ἐκεῖνον διαλλαγὰς πρῶτον μὲν ἀπίστους, εἶτα τῆς ἑαυτῶν πατρίδος νομίζειν ἀνάστασιν, δαιμονίᾳ τινὶ καὶ θείᾳ παντάπασιν ἔοικεν εὐεργεσίᾳ.* longius quidem absunt Corcyraei ap. Thucyd. I, 36, sed tamen habent quo Atheniensium societatem vel ex hac re sibi concilient; suadent enim *χωρίον προσλαβεῖν ὃ μετὰ μεγίστων καιρῶν οἰκειοῦταί τε καὶ πολεμοῦται. τῆς τε γὰρ Ἰταλίας καὶ Σικελίας καλῶς παράπλου κεῖται, ὥστε μήτε ἐκεῖθεν ναυτικὸν ἐᾶσαι Πελοποννησίοις ἐπελθεῖν, τό τε ἐνθένδε πρὸς τἀκεῖ παραπέμψαι καὶ ἐς τἆλλα ξυμφορώτατόν ἐστιν.*

v. 6. *τούτων ἅπερ ἂν ὑπάρχῃ ταῦτα συνάγειν*] ut si quae modo dicta sunt, non inveniantur, alia undecunque congesta afferantur, ut Corcyraeis ap. Thucyd. I, 32 *δίκαιον ὦ Ἀ. τοὺς μήτε εὐεργεσίας μεγάλης μήτε ξυμμαχίας προὐφειλομένης ἥκοντας παρὰ τοὺς πέλας ἐπικουρίας, ὥσπερ καὶ ἡμεῖς νῦν, δεησομένους ἀναδιδάξαι πρῶτον, μάλιστα μὲν ὡς καὶ ξύμφορα δέονται, εἰ δὲ μή, ὅτι γε οὐκ ἐπιζήμια, ἔπειτα δὲ ὡς καὶ τὴν χάριν βέβαιον ἕξουσιν· εἰ δὲ τούτων μηδὲν σαφὲς καταστήσουσι, μὴ ὀργίζεσθαι ἢν ἀτυχῶσιν.* Demosth. pro Rhodiorum libert., qui Atheniensium hostes fuerant, nunc propter *τὸ συμφέρον* civitatis iis succurrendum esse monet §. 15—6, item §. 21 *καὶ γὰρ εἰ δίκαιά τις φήσει Ῥοδίους πεπονθέναι, οὐκ ἐπιτήδειος ὁ καιρὸς ἐφησθῆναι· δεῖ γὰρ τοὺς εὐτυχοῦντας περὶ τῶν ἀτυχούντων ἀεὶ φαίνεσθαι τὰ*

βέλτιστα βουλευομένους, ἐπειδήπερ ἄδηλον τὸ μέλλον ἅπασιν ἀνθρώποις. conf. pro Megalopol. §. 19 infra allatam.

v. 7. *ὅταν δὲ διακωλύῃς τὴν συμμαχίαν*] conf. Corinthiorum oratio in Thucyd. I, 37—43, qui Atheniensibus ne societatem cum Corcyraeis ineant suadent.

v. 9. *ἔπειθ' ὡς οὐ δίκαιοι τυγχάνουσιν ὄντες εἶθ' ὡς πρότερον ἡμᾶς κακῶς πεποιηκότες*] acutissime hoc opprobrium Megalopolitanis ab adversariis ne Athenienses eorum societatem acciperent iniectum Demosthen. pro Megalop. §. 19 diluit: *ἀλλὰ μὴν ἃ γέ φασι πεπρᾶχθαι διὰ Θηβαίους τοῖς Μεγαλοπολίταις ὑπεναντία πρὸς ὑμᾶς, ἄτοπον νῦν μὲν ἐν κατηγορίας μέρει ποιεῖσθαι, βουλομένων δὲ γενέσθαι φίλων αὐτῶν, ἵνα τοὐναντίον εὖ ποιῶσιν ὑμᾶς, βασκαίνειν καὶ σκοπεῖν ἐξ ὅτου τρόπου μὴ γενήσονται, καὶ μὴ γινώσκειν ὅτι ὅσῳ ἂν σπουδαιοτέρους τούτους περὶ Θηβαίους γεγενημένους ἀποδείξωσι, τοσούτῳ πλείονος ὀργῆς αὐτοὶ δικαίως ἂν τυγχάνοιεν, εἰ τοιούτων συμμάχων τὴν πόλιν, ὅτ' ἐφ' ὑμᾶς προτέρους ἦλθον ἢ Θηβαίους, ἀπεστέρησαν. ἀλλ' οἶμαι ταῦτα μέν ἐστι δεύτερον ἀνθρώπων βουλομένων ἑτέρων ποιῆσαι τούτους συμμάχους.* Nicias ap. Thucyd. VI, 13 *καὶ τὸ λοιπὸν ξυμμάχους μὴ ποιεῖσθαι ὥσπερ εἰώθαμεν, οἷς κακῶς μὲν πράξασιν ἀμυνοῦμεν, ὠφελίας δ' αὐτοὶ δεηθέντες οὐ τευξόμεθα.* Corinthii Corcyraeos *οὐ δικαίους* fuisse dicunt I, 37.

v. 16. *περὶ εἰρήνης δὲ πάλιν καὶ πολέμου*] Aristot. Rhet. I, 4.

v. 17. *προφάσεις μὲν οὖν εἰσι τοῦ πόλεμον ἐκφέρειν πρός τινας αὗται*] Isocratis Archidamus, Panegyricus §. 133—86, Philippus §. 83—155. Demosth. oratt. Philipp. *περὶ τῶν πρὸς Ἀλέξανδρον συνθηκῶν.* Thucydidis oratio Sthenelaidae I, 86. Alcibiadis VI, 16—18. 89—92.

v. 19. *ἀμύνασθαι τοὺς ἀδικήσαντας*] Andocides de pace §. 13 *φασὶ δέ τινες ἀναγκαίως νῦν ἡμῖν ἔχειν πολεμεῖν.*

σκεψώμεθα οὖν πρῶτον ὦ ἄ. Ἀ. διὰ τί καὶ πολεμήσωμεν· οἶμαι γὰρ ἂν πάντας ἀνθρώπους ὁμολογῆσαι διὰ τάδε δεῖν πολεμεῖν, ἢ ἀδικουμένους ἢ βοηθοῦντας ἠδικημένοις. huc pertinet si altera pars foedus ictum violaverit, ex quo loco (Hyperidis) oratio *περὶ τῶν πρὸς Ἀλέξανδρον συνθηκῶν* constat. Demosth. pro Rhod. libert. §. 17 *ὁρᾶτε δὲ κἀκεῖνο ὦ ἄ. Ἀ. ὅτι πολλοὺς ὑμεῖς πολέμους πεπολεμήκατε καὶ πρὸς δημοκρατίας καὶ πρὸς ὀλιγαρχίας. καὶ τοῦτο μὲν ἴστε καὶ αὐτοί. ἀλλ' ὑπὲρ ὧν πρὸς ἑκατέρους ἔσθ' ὑμῖν ὁ πόλεμος, τοῦτ' ἴσως ὑμῶν οὐδεὶς λογίζεται· ὑπὲρ τίνων οὖν ἐστίν; πρὸς μὲν τοὺς δήμους ἢ περὶ τῶν ἰδίων ἐγκλημάτων οὐ δυνηθέντων δημοσίᾳ διαλύσασθαι ταῦτα, ἢ περὶ γῆς μέρους ἢ ὅρων ἢ φιλονεικίας ἢ τῆς ἡγεμονίας· πρὸς δὲ τὰς ὀλιγαρχίας ὑπὲρ μὲν τούτων οὐδενός, ὑπὲρ δὲ τῆς πολιτείας καὶ τῆς ἐλευθερίας, ὥστ' ἔγωγ' οὐκ ἂν ὀκνήσαιμι εἰπεῖν μᾶλλον ἡγεῖσθαι συμφέρειν δημοκρατουμένους τοὺς Ἕλληνας ἅπαντας πολεμεῖν ὑμῖν ἢ ὀλιγαρχουμένους φίλους εἶναι.* Isocr. Paneg. §. 160. 179.

v. 21. *ἢ συμμάχοις ἀδικουμένοις βοηθεῖν*] vid. Andoc. supra. Alcib. ap. Thucyd. VI, 18 *ὥστε τί ἂν λέγοντες εἰκὸς ἢ αὐτοὶ ἀποκνοῖμεν ἢ πρὸς τοὺς ἐκεῖ ξυμμάχους σκηπτόμενοι μὴ βοηθοῖμεν; οἷς χρεών, ἐπειδή γε καὶ ξυνωμόσαμεν, ἐπαμύνειν καὶ μὴ ἀντιτιθέναι ὅτι οὐδὲ ἐκεῖνοι ἡμῖν. οὐ γὰρ ἵνα δεῦρο ἀντιβοηθῶσι προσεθέμεθα αὐτοὺς ἀλλ' ἵνα τοῖς ἐκεῖ ἐχθροῖς ἡμῶν λυπηροὶ ὄντες δεῦρο κωλύωσιν αὐτοὺς ἐπιέναι.*

v. 22. *ἢ τοῦ τῇ πόλει συμφέροντος ἕνεκεν*] Alcibiades Lacedaemoniis ut Deceliam muniant suadens Thucyd. VI, 91 *ἃ δ' ἐν τῇ ἐπιτειχίσει αὐτοὶ ὠφελούμενοι τοὺς ἐναντίους κωλύσετε, πολλὰ παρεὶς τὰ μέγιστα κεφαλαιώσω.* quae deinceps exponuntur.

v. 23. *ἢ εἰς δύναμιν*] ut Alcibiades ap. Thucyd. VI, 18

καὶ οὐκ ἔστιν ἡμῖν ταμιεύεσθαι ἐς ὅσον βουλόμεθα ἄρχειν, ἀλλ᾽ ἀνάγκη ἐπειδήπερ ἐν τῷδε καθέσταμεν, τοῖς μὲν ἐπιβουλεύειν, τοὺς δὲ μὴ ἀνιέναι, διὰ τὸ ἀρχθῆναι ἂν ὑφ᾽ ἑτέρων αὐτοῖς κίνδυνον εἶναι, εἰ μὴ αὐτοὶ ἄλλων ἄρχοιμεν. conf. I, 75.

v. 25. *καὶ μετὰ ταῦτα δεικτέον ἐξ ὧν ἔστι περιγενέσθαι τῷ πολέμῳ*] ut Corinthii ap. Thucyd. I, 120—4, Pericles I, 141 seqq. II, 62. Alcibiades VI, 17, Isocratis Archidamus qui quod nullis externis subsidiis adiutus est, suam suorumque virtutem extollit, et aliorum copias per contemtionem deprimit. add. Demosth. Olynth. et Philipp. orationes.

p. 17 v. 2. *ἢ διὰ τὴν τῶν θεῶν εὔνοιαν ἣν εὐτυχίαν προσαγορεύομεν*] Isocrat. Archidamus §. 58 seqq. contra eos qui memorant *τήν τε τῆς πόλεως ἀσθένειαν καὶ τὴν τῶν πολεμίων δύναμιν* atque ex adversariis *πόθεν βοήθειαν προσδοκῶντες ἥξειν διακελεύονται πολεμεῖν* quaerunt, cum plures esse hostium copias negare non possit, aliam qua et hos confutet et cives adhortetur, init rationem: *ἐγὼ δὲ μεγίστην ἡγοῦμαι συμμαχίαν εἶναι καὶ βεβαιοτάτην τὸ τὰ δίκαια πράττειν· εἰκὸς γὰρ τὴν τῶν θεῶν εὔνοιαν γενέσθαι μετὰ τούτων, εἴπερ χρὴ περὶ τῶν μελλόντων τεκμαίρεσθαι τοῖς ἤδη γεγενημένοις, πρὸς δὲ ταύτῃ τὸ καλῶς πολιτεύεσθαι κτλ.* Thucyd. IV, 92. Pseudodemosth. p. 152 seq. §. 2. *ὅτι δὲ χρὴ μήτε ὀῤῥωδεῖν ὑμᾶς τὴν ἐκείνου δύναμιν μήτε ἀγεννῶς ἀντιταχθῆναι πρὸς αὐτόν, ἀλλὰ καὶ σώμασι καὶ χρήμασι καὶ ναυσὶ καὶ πᾶσιν ὡς ἁπλῶς εἰπεῖν ἀφειδῶς ὁρμῆσαι πρὸς τὸν πόλεμον, ἐγὼ πειράσομαι διδάσκειν. πρῶτον μὲν γὰρ εἰκὸς ὦ ἄ. Ἀ. τοὺς θεοὺς μεγίστους ὑμῖν ὑπάρχειν συμμάχους καὶ βοηθούς, ὧν ἐκεῖνος τὰς πίστεις ὑπερβὰς καὶ τοὺς ὅρκους ὑπεριδὼν λέλυκεν ἀδίκως τὴν εἰρήνην.* Olynth. II, 22 p. 24. Dissen ad Demosth. de cor. pag. 406. Dobreeus ad p. 311, 20.

v. 3. *ἢ διὰ σωμάτων πλῆθος καὶ ῥώμην*] Corinthii ap. Thucyd. I, 121 *κατὰ πολλὰ δὲ ἡμᾶς εἰκὸς ἐπικρατῆσαι, πρῶτον μὲν πλήθει προὔχοντας καὶ ἐμπειρίᾳ πολεμικῇ, ἔπειτα ὁμοίως πάντας ἐς τὰ παραγγελλόμενα ἰόντας... ὠνητὴ γὰρ Ἀθηναίων ἡ δύναμις μᾶλλον ἢ οἰκεία, ἡ δὲ ἡμετέρα ἧσσον ἂν τοῦτο πάθοι, τοῖς σώμασι τὸ πλέον ἰσχύουσα ἢ τοῖς χρήμασι.* conf. I, 81.

v. 4. *ἢ διὰ χρημάτων εὐπορίαν*] Pericles ap. Thucyd. I, 141 *αὐτουργοί τε γάρ εἰσι Πελοποννήσιοι καὶ οὔτε ἰδίᾳ οὔτε ἐν κοινῷ χρήματά ἐστιν αὐτοῖς... σώμασί τε ἑτοιμότεροι οἱ αὐτουργοὶ τῶν ἀνθρώπων ἢ χρήμασι πολεμεῖν... μέγιστον δὲ τῇ τῶν χρημάτων σπάνει κωλύσονται, ὅταν σχολῇ αὐτὰ ποριζόμενοι διαμέλλωσι, τοῦ δὲ πολέμου οἱ καιροὶ οὐ μενετοί.* ibidem I, 80 Archidamus de Atheniensibus *πρὸς δὲ ἄνδρας οἳ γῆν τε ἑκὰς ἔχουσι καὶ προσέτι θαλάσσης ἐμπειρότατοί εἰσι καὶ τοῖς ἄλλοις ἅπασιν ἄριστα ἐξήρτυνται, πλούτῳ τε ἰδίῳ καὶ δημοσίῳ καὶ ναυσὶ καὶ ἵπποις καὶ ὅπλοις καὶ ὄχλῳ, ὅσος οὐκ ἐν ἄλλῳ ἑνί γε χωρίῳ Ἑλληνικῷ ἐστιν, ἔτι δὲ καὶ ξυμμάχους πολλοὺς φόρου ὑποτελεῖς ἔχουσι, πῶς χρὴ πρὸς τούτους ῥᾳδίως πόλεμον ἄρασθαι, καὶ τίνι πιστεύσαντας ἀπαρασκεύους ἐπειχθῆναι;*

ἢ διὰ στρατηγοῦ φρόνησιν] ut Timotheum Isocrates laudat Antid. §. 117—8, Alcibiades ap. Thucyd. VI, 91 *καὶ ὃ τῆς στρατιᾶς ἔτι χρησιμώτερον εἶναι νομίζω, ἄνδρα Σπαρτιάτην ἄρχοντα, ὡς ἂν τούς τε παρόντας ξυντάξῃ καὶ τοὺς μὴ θέλοντας προσαναγκάσῃ· οὕτως γὰρ οἵ τε ὑπάρχοντες ὑμῖν φίλοι θαρσήσουσι μᾶλλον καὶ οἱ ἐνδοιάζοντες ἀδεέστερον προσίασιν,* quibus Thucyd. Gylippum indicat. conf. Isocr. Archid. §. 52 seqq. ubi Pedaritus, Brasidas, Gylippus laudantur.

ἢ διὰ συμμάχων ἀρετὴν] Sthenelaidas ap. Thucyd. I, 86

ἄλλοις μὲν γὰρ χρήματά ἐστι πολλὰ καὶ νῆες καὶ ἵπποι, ἡμῖν δὲ ξύμμαχοι ἀγαθοὶ οὓς οὐ παραδοτέα τοῖς Ἀθηναίοις ἐστίν. conf. Isocr. Archid. §. 60 seqq.

v. 5. *ἢ διὰ τόπων εὐφυΐαν*] Isocrat. Archid. §. 74. Athenienses maris imperium tenent quo facile et se tutentur et hostes devincant, Thucyd. Pericles II, 62.

τούτων οὖν καὶ τῶν τοιούτων] quia praeter dicta et alia sunt in exemplis iam indicata; similiter Corinthii ap. Thucyd. I, 122 *ὑπάρχουσι δὲ καὶ ἄλλαι ὁδοὶ πολέμου ἡμῖν, ξυμμάχων τε ἀπόστασις, μάλιστα παραίρεσις οὖσα τῶν προσόδων αἷς ἰσχύουσι, καὶ ἐπιτειχισμὸς τῇ χώρᾳ, ἄλλα τε ὅσα οὐκ ἄν τις νῦν προϊδοι, ἥκιστα γὰρ πόλεμος ἐπὶ ῥητοῖς χωρεῖ, αὐτὸς δὲ ἀφ' αὑτοῦ τὰ πολλὰ τεχνᾶται πρὸς τὸ παρατυγχάνον.*

v. 9. *ἐὰν δὲ πόλεμον μέλλοντα γίνεσθαι διακωλύειν ἐπιχειρῶμεν*] ut Archidamus ap. Thucyd. I, 80—5, Nicias VI, 9—14.

v. 12. *ἔπειθ' ὡς οὐ συμφέρει, διεξιόντα τὰ κατὰ τὸν πόλεμον ἀτυχήματα τοῖς ἀνθρώποις*] Nicias VI, 9 *καὶ πρὸς μὲν τοὺς τρόπους τοὺς ὑμετέρους ἀσθενὴς ἄν μου ὁ λόγος εἴη, εἰ τά τε ὑπάρχοντα σώζειν παραινοίην καὶ μὴ τοῖς ἑτοίμοις περὶ τῶν ἀφανῶν καὶ μελλόντων κινδυνεύειν.* Isocrat. Archid. §. 49 *κατηγοροῦσι δέ τινες τοῦ πολέμου καὶ διεξέρχονται τὴν ἀπιστίαν αὐτοῦ τεκμηρίοις ἄλλοις τε πολλοῖς χρώμενοι καὶ μάλιστα τοῖς περὶ ἡμᾶς γεγενημένοις, καὶ θαυμάζουσιν εἴ τινες οὕτω χαλεπῷ καὶ παραβόλῳ πράγματι πιστεύειν ἀξιοῦσιν*, quae deinde confutantur.

v. 14. *πρὸς δὲ τούτοις τὰ πρὸς νίκας συντείνοντα τοῦ πολέμου τοῖς ἐναντίοις ὑπάρχοντα μᾶλλον δεικτέον*] Archidamus ap. Thucyd. I, 80.

v. 17. *ἤδη δ' ἐνεστῶτα παύειν ἐπιχειροῦντας*] Andocides et Isocrates de pace, Lacedaemoniorum oratio ap. Thucyd. IV, 17—20, Niciae VI, 9—14. Hermocratis IV, 59—64.

v. 18. *οἱ συμβουλευόμενοι*] populus qui deliberat *βουλευόμενος*, oratores qui suadent aut dissuadent *συμβουλεύοντες* dicuntur; ergo hic *οἱ βουλευόμενοι* scribendum est.

v. 19. *ὅτι δεῖ τοὺς νοῦν ἔχοντας μὴ περιμένειν, ἕως ἂν πέσωσιν, ἀλλ' ἐν τῷ κρατεῖν ποιεῖσθαι τὴν εἰρήνην*] acutissime hoc Lacedaemonii Atheniensibus apud Thucyd. exponunt, unde quaedam delibare licet: *ὑμῖν γὰρ εὐτυχίαν τὴν παροῦσαν ἔξεστι καλῶς θέσθαι, ἔχουσι μὲν ὧν κρατεῖτε, προσλαβοῦσι δὲ τιμὴν καὶ δόξαν, καὶ μὴ παθεῖν ὅπερ οἱ ἀήθως τι ἀγαθὸν λαμβάνοντες τῶν ἀνθρώπων... ἡμῖν δὲ καλῶς εἴ πέρ ποτε ἔχει ἀμφοτέροις ἡ ξυναλλαγὴ πρίν τι ἀνήκεστον διὰ μέσου γενόμενον ἡμᾶς καταλαβεῖν, ἐν ᾧ ἀνάγκη ἀΐδιον ὑμῖν ἔχθραν πρὸς τῇ κοινῇ καὶ ἰδίαν ἔχειν, ὑμᾶς δὲ στερηθῆναι ὧν νῦν προκαλούμεθα. ἔτι δ' ὄντων ἀκρίτων καὶ ὑμῖν μὲν δόξης καὶ ἡμετέρας φιλίας προσγιγνομένης, ἡμῖν δὲ πρὸ αἰσχροῦ τινος ξυμφορᾶς μετρίως κατατιθεμένης διαλλαγῶμεν, καὶ αὐτοί τε ἀντὶ πολέμου εἰρήνην ἑλώμεθα καὶ τοῖς ἄλλοις Ἕλλησιν ἀνάπαυσιν κακῶν ποιήσωμεν.* item cap. 18 *καὶ ἐλάχιστ' ἂν οἱ τοιοῦτοι πταίοντες διὰ τὸ μὴ τῷ ὀρθουμένῳ αὐτοῦ πιστεύοντες ἐπαίρεσθαι ἐν τῷ εὐτυχεῖν ἂν μάλιστα καταλύοιντο.* sed integra oratio ex hoc maxime constat loco.

v. 23. *ἡ δ' εἰρήνη τοὺς μὲν ἡττωμένους σώζειν*] Hermocrates ap. Thucyd. IV, 62 *τὴν δὲ ὑπὸ πάντων ὁμολογουμένην ἄριστον εἶναι εἰρήνην πῶς οὐ χρὴ καὶ ἐν ἡμῖν αὐτοῖς ποιήσασθαι; ἢ δοκεῖτε, εἴ τῳ τι ἔστιν ἀγαθὸν ἢ εἴ τῳ τὰ ἐναντία, οὐχ ἡσυχία μᾶλλον ἢ πόλεμος τὸ μὲν παύσαι ἂν ἑκατέρῳ, τὸ δὲ ξυνδιασώσαι, καὶ τὰς τιμὰς καὶ λαμπρότητας ἀκινδυνοτέρας ἔχειν τὴν εἰρήνην, ἄλλα τε ὅσα ἐν μήκει λόγων ἄν τις διέλθοι ὥσπερ περὶ τοῦ πολεμεῖν;* ubi deinceps varii fortunae casus referuntur. Isocrat. de pace §. 12 *θαυμάζω δὲ τῶν τε πρεσβυτέρων, εἰ μηκέτι*

μνημονεύουσι, καὶ τῶν νεωτέρων, εἰ μηδενὸς ἀκηκόασιν, ὅτι διὰ μὲν τοὺς παραινοῦντας ἀντέχεσθαι τῆς εἰρήνης οὐδὲν πώποτε κακὸν ἐπάθομεν, διὰ δὲ τοὺς ῥᾳδίως τὸν πόλεμον αἱρουμένους πολλαῖς ἤδη καὶ μεγάλαις συμφοραῖς περιεπέσομεν. §. 19 *ὁ μὲν τοίνυν πόλεμος ἁπάντων ἡμᾶς τῶν εἰρημένων ἀπεστέρηκεν· καὶ γὰρ πενεστέρους πεποίηκε καὶ πολλοὺς κινδύνους ὑπομένειν ἠνάγκασε, καὶ πρὸς τοὺς Ἕλληνας διαβέβληκε καὶ πάντας τρόπους τεταλαιπώρηκεν ἡμᾶς. ἢν δὲ τὴν εἰρήνην ποιησώμεθα καὶ τοιούτους ἡμᾶς αὐτοὺς παράσχωμεν οἵους αἱ κοιναὶ συνθῆκαι προστάττουσι, μετὰ πολλῆς μὲν ἀσφαλείας τὴν πόλιν οἰκήσομεν, ἀπαλλαγέντες πολέμων καὶ κινδύνων καὶ ταραχῆς, εἰς ἣν νῦν πρὸς ἀλλήλους καθέσταμεν, καθ' ἑκάστην δὲ τὴν ἡμέραν πρὸς εὐπορίαν ἐπιδώσομεν κτλ.* quae multis exponuntur. Aristot. Rhet. II, 23 ex Alcidamantis Messeniaco *εἰ γὰρ ὁ πόλεμος αἴτιος τῶν παρόντων κακῶν, μετὰ τῆς εἰρήνης δεῖ ἐπανορθώσασθαι*, ubi vid. quae congessimus.

τοὺς δὲ νικῶντας ὧν ἕνεκεν ἐπολέμησαν, παρέχειν ἀπολαύειν] hiatus fuit in archetypo ex quo nobis recensio librorum CFM tradita est; nam C om. *ὧν ἕνεκεν*, M praecedens verbum *ἀπολλύναι* repetit additis *ἐνε*, unde non ex vetustiore codice, sed ex docta emendatione sumptum esse videtur, quod F praestat *ὧν ἐκ τοῦ πολέμου ἐκτήσαντο.* itaque non recepi; fateor tamen hanc vulgata multo meliorem esse coniecturam; non enim omnia quae voluerant et propter quae bellum gerebant, sed quaedam tantum occupaverunt; praestat igitur id quod Philelphi codex exhibet vulgatae lectioni *ὧν ἕνεκεν ἐπολέμησαν.* verbum *παρέχειν* quod constructionem levaret additum est.

p. 18 v. 4. *ἐκ τοῦ μὴ παροξύνεσθαι τοῖς προαδικήσασι ταῖς συμφοραῖς πειθομένους*] quodammodo Demosthenis oratio huc pertinet, qua ne Philippo in Amphictyonum

concilium recepto adversentur Athenienses admonet; metuendum enim esse, ne cuncta Graecia Philippi societati nunc adhaerens bellum contra Athenienses suscipiat, §. 17—23 *μὴ κοινὴν πρόφασιν καὶ κοινὸν ἔγκλημα ὁ μέλλων πόλεμος πρὸς ἅπαντας λάβῃ.* §. 25 multo maiora se Philippo iam concessisse, ut pace fruerentur, *δῆλον ὅτι τὴν ἀπὸ τῆς εἰρήνης ἡσυχίαν πλειόνων ἀγαθῶν αἰτίαν νομίζοντες εἶναι ἢ τὸ προσκρούειν καὶ φιλονεικεῖν περὶ τούτων. οὐκοῦν εὔηθες καὶ κομιδῇ σχέτλιον, πρὸς ἑκάστους καθ' ἕνα οὕτω προσενηνεγμένους περὶ τῶν οἰκείων καὶ ἀναγκαιοτάτων, πρὸς πάντας περὶ τῆς ἐν Δελφοῖς σκιᾶς νυνὶ πολεμῆσαι.*

v. 12. *ὅταν ἤτοι δίκαια ἀξιοῦν τοὺς ἐναντίους ὑπολαμβάνωσιν*] ut Andocides de pace §. 17—23 Lacedaemonios et Thebanos, ut pax fiat, multa in Atheniensium gratiam concedere docet. Ceterum vide ne haec omnia praecepta de pace libenter ineunda sumta sint ex Isocratis Philippo, qui eadem de Lacedaemoniorum, Argivorum, Thebanorum statu, quibus facile rex Macedonum harum civitatium amicitiam et societatem contra barbaros conciliet, narrat.

ἤτοι . . . ἢ] cap. 35 legitur *ἤτοι γνώμην ἢ ἐνθύμημα*, sed tam solemnis est oratoribus formula *τὰ δίκαια*, ut a rhetore nostro hic quoque adhibitam esse credam.

v. 13. *ἢ διενεχθῶσι τοῖς συμμάχοις*] Isocrat. Phil. §. 48 de Lacedaemoniis *πρὸς δὲ τούτοις ἐπεῖδον Πελοποννησίους ἅπαντας τοὺς πρότερον μεθ' αὑτῶν ἐπὶ τοὺς ἄλλους ἀκολουθοῦντας, τούτους μετὰ Θηβαίων εἰς τὴν αὑτῶν εἰσβαλόντας, πρὸς οὓς ἠναγκάσθησαν διακινδυνεύειν οὐκ ἐν τῇ χώρᾳ περὶ τῶν καρπῶν, ἀλλ' ἐν μέσῃ τῇ πόλει πρὸς αὐτοῖς τοῖς ἀρχείοις περὶ παίδων καὶ γυναικῶν, τοιοῦτον κίνδυνον ὃν μὴ κατορθώσαντες μὲν εὐθὺς ἀπώλλυντο, νικήσαντες δὲ οὐδὲν μᾶλλον ἀπηλλαγμένοι τῶν κακῶν εἰσιν, ἀλλὰ πολεμοῦνται μὲν ὑπὸ*

τῶν τὴν χώραν αὐτῶν περιοικούντων, ἀπιστοῦνται δ' ὑφ' ἁπάντων Πελοποννησίων, μισοῦνται δὲ κτλ.

ἢ τῷ πολέμῳ κάμνωσιν] Isocrat. Philipp. §. 38 ὁρᾷς δ' ὡς τεταλαιπώρηνται διὰ τὸν πόλεμον καὶ ὡς παραπλησίως ἔχουσι τοῖς ἰδίᾳ μαχομένοις. καὶ γὰρ ἐκείνους αὐξομένης μὲν τῆς ὀργῆς οὐδεὶς ἂν διαλλάξειεν, ἐπὴν δὲ κακῶς ἀλλήλους διαθῶσιν, οὐδενὸς διαλύοντος αὐτοὶ διέστησαν. ὅπερ οἶμαι καὶ ταύτας ποιήσειν, ἢν μὴ σὺ πρότερον αὐτῶν ἐπιμεληθῇς. item §. 47.

v. 14. ἢ φοβηθῶσι τοὺς ἐναντίους] Isocrat. Phil. §. 50 de Lacedaemoniis τὸ δὲ μέγιστον τῶν κακῶν· δεδιότες γὰρ διατελοῦσι μὴ Θηβαῖοι διαλυσάμενοι τὰ πρὸς Φωκέας πάλιν ἐπανελθόντες μείζοσιν αὐτοὺς συμφοραῖς περιβάλωσι τῶν πρότερον γεγενημένων. καίτοι πῶς οὐ χρὴ νομίζειν τοὺς οὕτω διακειμένους ἀσμένους ἂν ἰδεῖν ἐπιστατοῦντα τῆς εἰρήνης ἀξιόχρεων ἄνδρα καὶ δυνάμενον διαλῦσαι τοὺς ἐνεστῶτας πολέμους αὐτοῖς;

ἢ στασιάσωσι πρὸς σφᾶς αὐτούς] Hermocrat. ap. Thucyd. IV, 59. Isocrat. Archidamus §. 67 seqq. Philipp. §. 52 de Argivis ὃ δὲ πάντων δεινότατον· ὅταν γὰρ οἱ πολέμιοι διαλίπωσι κακῶς αὐτοὺς ποιοῦντες, αὐτοὶ τοὺς ἐνδοξοτάτους καὶ πλουσιωτάτους τῶν πολιτῶν ἀπολλύουσι, καὶ ταῦτα δρῶντες οὕτω χαίρουσιν ὡς οὐδένες ἄλλοι τοὺς πολεμίους ἀποκτείνοντες. αἴτιον δ' ἐστὶ τοῦ ταραχωδῶς αὐτοὺς ζῆν οὕτως οὐδὲν ἄλλο πλὴν ὁ πόλεμος, ὃν ἢν διαλύσῃς, οὐ μόνον αὐτοὺς τούτων ἀπαλλάξεις, ἀλλὰ καὶ περὶ τῶν ἄλλων ἄμεινον βουλεύεσθαι ποιήσεις. de Thebanis §. 55 idem.

v. 19. περὶ πόρου χρημάτων] conf. Arist. Rhet. I, 4. Demosth. Olynth. I §. 19 seqq. Phil. I, 29. περὶ συμμοριῶν §. 24—30.

v. 26. ἢ τοῖς μὲν πένησι τὰ σώματα παρέχειν] magis

dilucide fragmentum in fine positum *περὶ δὲ πόρου χρημάτων κράτιστον μὲν ἀπὸ τῶν ἰδίων προσόδων ἢ κτημάτων, δεύτερον δὲ ἀπὸ τῶν τιμημάτων, τρίτον δὲ τῶν πενήτων τὰ σώματα παρεχόντων λειτουργεῖν, τῶν δὲ τεχνιτῶν ὅπλα, τῶν δὲ πλουσίων χρήματα*, in quo placet omissus articulus ante *χρήματα*.

p. 19 v. 2. *συλλήβδην δὲ περὶ πόρων εἰσηγούμενοι φάναι αὐτοὺς*] neque nominativus stare potest, cuius loco alii *εἰσηγούμενον* habent, et inauditum atque barbarum est participium verbo *φάναι* adiectum, cui malo medearis reponens *εἰσηγούμενον ἀποφαίνειν*, quod solemne nostro verbum est. sed et infinitivus offendit, unde *συλλήβδην δὲ δεῖ περὶ* scribimus, ut supra *συλλήβδην δὲ δεῖ παραφυλάττειν*, et *συλλήβδην δὲ τοῦθ' ἡμᾶς εἰδέναι δεῖ ὅτι*, et ubicumque verba *συλλήβδην δὲ* sententiam incipiunt, finitum verbum additum est.

CAPUT III.

v. 10. *ἐγκωμιαστικὸν εἶδος*] Theophilus ap. Fabric. XIII, 746 *τὸ δὲ ἐγκώμιον ἐν τῇ πρὸς Ἀλέξανδρον ῥητορικῇ ἔφη εἶναι προαιρέσεων καὶ πράξεων καὶ λόγων ἐνδόξων αὔξησιν καὶ μὴ προσόντων συνοικείωσιν, ὧν ἁπάντων ὁ ψόγος ἐστὶ ταπείνωσις· οἰκειοῦσθαι γὰρ ὡς αὐτὸς οὗτός φησι τὸν μὲν ἔπαινον τῶν ἀρετῶν, τὸ δὲ ἐγκώμιον τῶν πράξεων*, quae postrema ex Arist. Rhet. I, 9 sumta sunt, et ipsa Aristotelem huius libri autorem non esse confirmant. conf. Ethic. Nic. I, 12.

De genere demonstrativo vid. Arist. Rhet. I, 9. Menander *περὶ ἐπιδεικτικῶν* Rhet. Gr. IX p. 127. Aut. ad Herenn. III, 6—8. Cicero de invent. II, 59. Emporius pag. 313 seqq.

v. 11. *καὶ μὴ προσόντων συνοικείωσις*] Isocrat. Busir. §. 4 *ἁπάντων εἰδότων ὅτι δεῖ τοὺς μὲν εὐλογεῖν τινὰς βουλομένους πλείω τῶν ὑπαρχόντων ἀγαθῶν αὐτοῖς*

προσόντ' ἀποφαίνειν, τοὺς δὲ κατηγοροῦντας τἀναντία τούτων ποιεῖν. Panath. §. 123. Plat. Menex. hac de causa oratores perstringens p. 235 Steph. οἳ οὕτω καλῶς ἐπαινοῦσιν ὥστε καὶ τὰ προσόντα καὶ τὰ μὴ περὶ ἑκάστου λέγοντες κάλλιστά πως τοῖς ὀνόμασι ποικίλλοντες γοητεύουσιν ἡμῶν τὰς ψυχάς.

v. 14. ἐπαινετὰ μὲν οὖν ἐστι πράγματα τὰ δίκαια] offendit me in his πράγματα. sane quae laudantur, plerumque διὰ τὰς πράξεις καὶ τὰ ἔργα efferuntur, sed sunt etiam ἐπαινετὰ quae nullo constant facto (conf. Arist. Eth. Nic. I, 12), dixitque et προαιρέσεις et λόγους laudari, quare vide, ne male sit vocabulum πράγματα illatum ex seqq. ῥᾴδια πραχθῆναι.

v. 15. καὶ τὰ ῥᾴδια πραχθῆναι] imo quae factu sunt difficilia, laude digna habentur, unde Basil. ceterique omnes praeter Bekkerum τὰ οὐ ῥᾴδια dederunt; at scripsisset potius, ni fallor, τὰ χαλεπὰ πραχθῆναι. interdum sane suademus et laudamus aliquid quod sit ῥᾴδιον πραχθῆναι, at hic omnino sunt τὰ ἐπαινετὰ enumeranda, quorum in numero pauci τὰ ἡδέα, nemo τὰ ῥᾴδια πραχθῆναι collocabit. Itaque nisi haec ab alio, ut omnes locos repeteret, addita censeas, non habeo quod contra emendationem quae contrarium inferat sensum, dicam.

v. 16. ταῦτα δὲ αὐτά τε οἷά ἐστι καὶ ὅθεν αὐτὰ πολλὰ ποιήσομεν] sic emendavimus id quod libri praebent αὐτοὶ πολλὰ. cap. 4 αὐτά τε ἐξ ὧν συνέστηκε καὶ ὡς δεῖ αὐτοῖς χρῆσθαι. cap. 28 αὐτά τε ἴσμεν ἃ ἐστι καὶ ὅθεν αὐτὰ πολλὰ ποιήσομεν.

v. 17. ἐν τοῖς πρὸ τούτων εἴρηται] cap. 1 ἐν τοῖς προτέροις ὥρισται, ibidem ὥσπερ ἐπὶ τῶν προτέρων εἴρηται. cap. 37 οἷον δὲ τούτων ἕκαστόν ἐστιν, ἐκ τῶν προτέρων ἴσμεν.

v. 22. τὰ ἐναντία τούτοις] dativum noster huic adiectivo

addit, non genitivum, unde ex DV *τούτοις* reposuimus. cap. 38 *τἀναντία ... αὐτῶν* Bekkerus ex B dedit, sequunturque EG, ceteri vero *αὐτοῖς*.

v. 23. *τὸ μὲν ἐκ τούτου*] divisit in hominem et res, illius duos dedit locos *ὑπ' αὐτοῦ* et *δι' αὐτοῦ*, harum tres; illos tacite transit, eos enim non excidisse *μὲν* docet, has explicat.

p. 20 v. 11. *ἀποφαίνων ... γεγενῆσθαι*] ita nostrum non scripsisse, plurima docent exempla, in quibus ex more participium sequitur. facile carebis verbo *ἀποφαίνων*, alibi quoque male illato, ut cap. 32. 35. infra cap. 34 *ἀποφαίνειν φιλίαν ὑπάρχειν ... καὶ ὀφείλοντας*. nec in Dionysio Lys. cap. 8 *ἀποφαίνομαι κατορθοῦν*, *οὐ* pro *κατορθοῦντα* ferendum.

v. 16. *τὰ μέγιστα διεξιὼν ... καὶ οὕτω μέγα φανῆναι*] hoc anacoluthon, cum statim praecedat infinitivus ex quo dependet *διεξιὼν*, ferri nequit, reponendumque *διεξιόντα*. idem mendum cap. 22 *ἐὰν δὲ βούλῃ μέσως λέγειν, τὰ μέγιστα τῶν μερῶν ἐκλέγων περὶ τούτων ποιεῖσθαι τοὺς λόγους*, scrib. *ἐκλέγοντα*. cap. 35 *ἀναλαβόντες ... περιτιθέναι*. ibidem *ἐπιτιμᾷν ... λέγων*, at praecedit et sequitur imperativus, unde *ἐπιτίμα* reponendum. ibidem *προτιθέμενος ... αὔξειν ... διεξιών*, ubi similiter imperativus *ὅρισαι* praemittitur. aeque corruptum est *φανῆναι*, nam neque infinitivus stare potest, cum haec non ex verbis *δεύτερος δὲ τρόπος* dependeant, sed quae consequuntur ex praecedentibus contineant, neque aoristus *φανῆναι* pro *φαίνεσθαι* locum habet; emendavimus *φανεῖται*. cap. 35 ubi eandem rem tractat *χρὴ δὲ καὶ παρ' ἄλλοις μικρὰ ἔνδοξα πράγματα παριστάναι τοῖς ὑπό σου λεγομένοις, καὶ οὕτω μεγάλα φαίνεσθαι*. ubi alia habent libri. Sic cap. 22 *χρὴ δὲ τούτων κατὰ πάντα τὰ μέρη συγκαταλέγειν διαλλάττοντα τοὺς λόγους καὶ μηδέποτε ὅμοια εἰς τὸ αὐτὸ πολλὰ τιθέντα, καὶ οὕτως ὁ λόγος ἀστεῖος φανεῖται*.

v. 18. *ἀντιπαραβάλλειν*] Aristotel. Rhet. I, 9 *κἂν μὴ καθ' αὑτὸν εὐπορῇς, πρὸς ἄλλους ἀντιπαραβάλλειν... δεῖ δὲ πρὸς ἐνδόξους συγκρίνειν... κἂν μὴ πρὸς τοὺς ἐνδόξους, ἀλλὰ πρὸς τοὺς ἄλλους δεῖ παραβάλλειν, ἐπείπερ ἡ ὑπεροχὴ δοκεῖ μηνύειν ἀρετήν.* ubi vid. adnot.

v. 23. *τούτῳ τι ἐναντίον ἐὰν λέγῃς*] nam contraria iuxta se posita magis elucescunt, vid. ad Arist. Rhetor. III, 2.

p. 21 v. 6. *ὡς εἰ πάντες τούτῳ ἴσως ποιοῖμεν, εὐδαιμονοῖμεν ἂν ἢ φαύλως πράττοιμεν*] Lysias XXV, 15 *ἔτι τοίνυν ὦ ἄ. δ. καὶ ἐκ τῶν ἄλλων τῶν ἐμοὶ πεπραγμένων ἄξιον σκέψασθαι. ἐγὼ γὰρ τοιοῦτον ἐμαυτὸν ἐν ταῖς τῆς πόλεως συμφοραῖς παρέσχον ὥστε, εἰ πάντες τὴν αὐτὴν γνώμην ἔσχον ἐμοί, μηδὲν' ἂν ὑμῶν μηδεμιᾷ κεχρῆσθαι συμφορᾷ.* Demosth. pro Ctesiph. §. 302—5 pag. 326 seq. Plat. Lach. p. 181 (256 Bkk.). Andocid. IV, 41 *βούλομαι δ' ὑμᾶς ἀναμνῆσαι τῶν ἐμοὶ πεπραγμένων. ἐγὼ γὰρ πρεσβεύσας εἰς Θετταλίαν καὶ Μακεδονίαν καὶ εἰς Μολοσσίαν καὶ εἰς Θεσπρωτίαν καὶ εἰς Ἰταλίαν καὶ εἰς Σικελίαν τοὺς μὲν διαφόρους ὄντας διήλλαξα, τοὺς δ' ἐπιτηδείους ἐποίησα, τοὺς δ' ἀπὸ τῶν ἐχθρῶν ἀπέστησα. καίτοι εἰ τῶν πρωτευόντων ἕκαστος τὰ αὐτὰ ἐποίησεν, ὀλίγους ἂν πολεμίους εἴχετε καὶ πολλοὺς συμμάχους ἐκέκτησθε.*

v. 8. *χρὴ δὲ καὶ εἰκάζοντα συμβιβάζειν καὶ ἐποικοδομοῦντα τὸ ἕτερον ὡς ἐπὶ τὸ ἕτερον αὔξειν*] Aristot. Rhet. I, 7 *καὶ τὸ συντιθέναι δὲ καὶ ἐποικοδομεῖν ὥσπερ Ἐπίχαρμος*, ubi vid. adnot. Lysias XXIV, 20.

v. 15. *κατὰ μέρη διαιρούμενον*] huc pertinet exornatio quam aut. ad Herenn. IV cap. 35 distributionem, Graeci *μερισμόν*, alii alio nomine nuncupant. In Neaer. §. 107—8.

v. 19. *τὸν ἐναντίον τρόπον μειών, ὡς εἰρήκαμεν ἐπὶ τῶν μεγάλων*] pro *ἢ εἰρήκαμεν*. dicitur enim saepe *τοὐναντίον ἤ*, vid. Steph. Thes. s. v. pag. 989 Did. alterum exem-

plum illius dictionis in meis adversariis frustra quaero; sed fortasse quodammodo conferri potest Schneid. ad Xenoph. Hellen. III. 3, 16, Lysiae VII, 13 *μᾶλλον ὡς προσῆκε* et illud *τῇ ὑστεραίᾳ ᾗ*, de quo Wyttenb. ad Plat. Phaed. p. 314, Bernh. Synt. p. 138, Maetzner ad Antiph. p. 267.

CAPUT IV.

p. 22 v. 1. *Διέλθωμεν*] id dedimus pro eo quod libri praebent omnes *διέλωμεν*. illud noster cap. 3 de genere deliberativo. cap. 4 fine *λείπεται δ' ἡμῖν ἔτι διεξελθεῖν τὸ ἐξεταστικὸν εἶδος*. cap. 7 *τὴν χρῆσιν αὐτῶν διεξῆλθον*. cap. 2 *περὶ δὲ νόμων... διέλθωμεν*, ibidem *περὶ δὲ συμμάχων... διελθεῖν ἐπιχειρήσομεν*. cap. 17 *τὰς πάσας πίστεις... διεξεληλύθαμεν*. cap. 14 *τῶν δ' ἐπιθέτων ἑκάστην πάλιν διέλθωμεν*. et sic ubique praeter cap. 28 *κατὰ τὰ μέρη μὲν οὖν οὕτως ἀκριβέστατα ἂν διέλοις τὰς τῶν λόγων μεθόδους*. ubi iterum *διέλθοις* (quod Aldus nescio unde excudit) reponendum; nam illud est separare dividere in partes suas dispescere, et media semper, nunquam activa utitur noster forma, cap. 6 *καθάπερ ἐν ἀρχῇ διειλόμην*. cap. 19 *διειλόμεθα δ' αὐτῶν τὰς διαφοράς*. cap. 2 *ἑκάστην δὲ πρόθεσιν διελώμεθα καὶ σκοπῶμεν*. cap. 38 *διελέσθαι χρή*.

τό τε κατηγορικὸν καὶ τὸ ἀπολογητικὸν εἶδος] Aristoteles Rhet. I, 10—15. hoc genus ut autor ad Herenn. et Cicero Rhet. maxime, ita posteriores solum attendunt.

v. 9. *ὅταν μὲν εἰς πονηρίαν κατηγορῇ*] ut Aeschines et Demosthenes invicem conviciis se proscindunt.

v. 11. *ὅταν δὲ εἰς ἀβελτερίαν*] ita oratores tractant adversarios virtute et integris moribus illustres, si *εἰς πονηρίαν κατηγορεῖν* neque sciunt neque audent, ut Leptinem Demosthenes, v. c. 102 *ἐμοὶ δ' ὦ ἄ. Ἀ. δοκεῖ Λεπτίνης, καί μοι πρὸς Διὸς μηδὲν ὀργισθῇς· οὐδὲν γὰρ φλαῦρον*

ἐρῶ σε, ἢ οὐκ ἀνεγνωκέναι τους Σόλωνος νόμους ἢ οὐ συνιέναι. conf. ibid. §. 13—14.

v. 13. *καὶ ἀδύνατοι ἐπιτελεσθῆναι*] haec non intelligo, loquitur enim de iudiciali genere, quod de facto, non de faciendo agit.

v. 16. *ἐπὶ ποίοις τῶν ἀδικημάτων οἱ νόμοι τὰς τιμωρίας τάττουσιν καὶ περὶ ἃ τῶν ἀδικημάτων οἱ δικασταὶ τὰς ζημίας ὁρίζουσιν*] hoc praeceptum quod autor etiam infra urget, ubi de eo, qui causam dicit, exponit, in aliorum arte frustra quaeras. Lycurgus in Leocrat. §. 9—10 gravissimus accusator facinus a reo commissum nulla legibus constituta poena solvendum esse dicit; maiores enim hominem tam nefanda unquam perpetraturum esse non credidisse; id amplificat orator, *διὸ καὶ μάλιστα ὦ ἄνδρες δεῖ ὑμᾶς γενέσθαι μὴ μόνον τοῦ νῦν ἀδικήματος δικαστὰς ἀλλὰ καὶ νομοθέτας. ὅσα μὲν γὰρ τῶν ἀδικημάτων νόμος τις διώρικε, ῥᾴδιον τούτῳ κανόνι χρωμένους κολάζειν τοὺς παρανομοῦντας· ὅσα δὲ μὴ σφόδρα περιείληφεν ἑνὶ ὀνόματι προσαγορεύσας, μείζω δὲ τούτων τις ἠδίκηκεν, ἅπασι δὲ ὁμοίως ἔνοχός ἐστιν, ἀναγκαῖον τὴν ὑμετέραν κρίσιν καταλείπεσθαι παράδειγμα τοῖς ἐπιγιγνομένοις. εὖ δ' ἴστε ὦ ἄνδρες ὅτι οὐ μόνον τοῦτον νῦν κολάσετε κατεψηφισμένοι, ἀλλὰ καὶ τοὺς νεωτέρους ἅπαντας ἐπ' ἀρετὴν προτρέψετε κτλ.* unde iusiurandum *περὶ μὲν ὧν νόμοι εἰσί, κατὰ τοὺς νόμους ψηφιεῖσθαι, περὶ ὧν δὲ μή εἰσι, γνώμῃ τῇ δικαιοτάτῃ*, de quo vid. ad Arist. Rhet. I, 15. ex hoc nati sunt *ἀγῶνες ἀτίμητοι* et *τιμητοί.*

v. 20. *ὅταν δὲ οἱ δικασταὶ τὸ κατηγορούμενον εἰδῶσιν*] contrarium praecedentium flagitatur, si iudices litem aestimant, unde *εἰδῶσι* vel quod plures libri habent *ἴσασι* corruptum esse apparet; latet ni fallor *τιμῶσιν* vel *ζημιῶσιν*, sed nullo exemplo *τὸ κατηγορούμενον τιμᾶν* confirmare possum, infra *οἱ δικασταὶ τὰς ζημίας τιμῶσιν.*

v. 23. *ἐκ προνοίας*] ex definitione Lysias III, 41—3.

p. 23 v. 2. *ἀλλὰ νομίζῃς δεῖξαι τὸν ἐναντίον*] ex CF futurum *δείξειν* recepimus, quod vulgari dicendi rationi autoris nostri magis convenit, conf. Lob. ad Phryn. p. 751. sic cap. 17 BE *οἴεται τεύξασθαι*, 29 *νομίζων εἰσηγήσασθαι*, ubi G futurum praebet.

v. 4. *περιαιρετέον τὴν συγγνώμην*] quae hic sequuntur, eadem infra cap. 36 autor repetit. Demosth. in Cononem p. 1261 §. 14—25. Lysias XIV, 41—5. XXII, 17—22. XXX, 26—30. Lyc. in Leocr. §. 90 seqq. Dinarch. in Dem. §. 91—114. optime hanc rationem Antiphontis quae dicuntur tetralogiae docent, v. c. I, *β*. *ἥ τε ἀτυχία ἀδικεῖται ὑπ' αὐτοῦ ἣν προϊστάμενος τῆς κακουργίας ἀφανίσαι τὴν αὐτοῦ μιαρίαν ζητεῖ, ὑπό τε ὑμῶν οὐκ ἄξιος ἐλεεῖσθαί ἐστιν ἀκούσιον μὲν τῷ παθόντι περιθεὶς τὴν συμφοράν, ἑκουσίως δὲ αὐτὸς εἰς τοὺς κινδύνους καταστάς.* III, *α*, 6 *εἰ μὲν γὰρ ἀπέκτεινε τὸν ἄνδρα, ἄξιος ἂν ἦν συγγνώμης τυχεῖν τινός· ὕβρει δὲ καὶ ἀκολασίᾳ παροινῶν εἰς ἄνδρα πρεσβύτην τύπτων καὶ πνίγων ἕως τῆς ψυχῆς ἀπεστέρησεν αὐτόν, ὡς μὲν ἀποκτείνας τοῖς ἐπιτιμίοις ἔνοχός ἐστιν, ὡς δὲ συγχέων ἅπαντα τῶν γεραιοτέρων τὰ νόμιμα οὐδενὸς ἁμαρτεῖν οἷς οἱ τοιοῦτοι κολάζονται δίκαιός ἐστιν.* In Timocrat. §. 66—7 *θαυμάζω δ' αὐτοῦ τί ποτε καὶ τολμήσει λέγειν περὶ τούτων. οὔτε γὰρ ὡς οὐκ ἐναντίος ἐσθ' ὁ νόμος τοῖς ἄλλοις, δεικνύειν ἔξει, οὔθ' ὡς δι' ἀπειρίαν ἰδιώτην αὐτὸν ὄντα τοῦτ' ἔλαθε, δύναιτ' ἂν πεῖσαι· πάλαι γὰρ μισθοῦ καὶ γράφων καὶ νόμους εἰσφέρων ὤπται. καὶ μὴν οὐδ' ἐκεῖνό γ' ἔνεστιν αὐτῷ, ἀδίκημα μὲν εἶναι τὸ πρᾶγμα ὁμολογῆσαι, συγγνώμης δὲ τυχεῖν ἀξιοῦν· οὐ γὰρ ἄκων οὐδ' ὑπὲρ ἠτυχηκότων οὐδ' ὑπὲρ συγγενῶν καὶ ἀναγκαίων αὐτῷ τεθεικὼς φαίνεται τὸν νόμον, ἀλλ' ἑκὼν ὑπὲρ μεγάλα ἠδικηκότων ὑμᾶς, οὐδὲν προσηκόντων αὐτῷ,*

πλὴν εἰ μὴ συγγενεῖς ὑπολαμβάνειν φήσει τοὺς μισθουμένους αὐτόν.

μόνον τῶν κοινῶν ἀπεχομένους μᾶλλον τῶν ἄλλων, ἀλλὰ καὶ τῶν ἰδίων εἰς τὰς τῆς πόλεως χρείας ὑπὲρ τὴν δύναμιν τὴν ἡμετέραν αὐτῶν δαπανωμένους. de re confer Demosthenis exordium de pace.

v. 22. *τοῖς πεῖραν μὴ δεδωκόσι τῶν πολιτῶν εὔνους ἀκροατὰς γενέσθαι*] huius praecepti exempla non inveni.

v. 24. *ἔπειτα τοὺς ἀκούοντας ἐπαίνῳ θεραπευτέον, δικαίως καὶ νουνεχῶς τοὺς λόγους ὡς εἰώθασι δοκιμάζειν*] ne huius quidem rei in deliberativo genere exempla cognovi; immo leviter auditores, ut ipsi haud graviter ferant, (conf. aut. ad Herenn. IV §. 48) increpantes, quod negligentiores sint, benevolentiam captant, v. c. Athenienses Cleon ap. Thucyd. III, 38. Demosth. Olynth. III, 3. Spartanos Corinthii ap. Thucyd. I, 68; ex genere iudiciali vide exempla ad cap. 36.

v. 25. *ἔτι δὲ τὰς ἐλαττώσεις οἰστέον λέγοντας ὡς οὐ δεινότητι πιστεύων ἀνέστην*] Isocr. Archidamus §. 6 *οὐ μὴν ὡς ἐπιθυμῶν τοῦ λέγειν, οὐδ' ὡς ἄλλως πως παρεσκευασμένος ζῆν ἢ τὸν παρελθόντα χρόνον, οὕτως εἴρηκα περὶ τούτων, ἀλλὰ βουλόμενος ὑμᾶς προτρέψαι μηδεμίαν ἀποδοκιμάζειν τῶν ἡλικιῶν κτλ.* plura ex iudiciali genere exempla vide infra cap. 36. Nicias VI, 9 Atheniensibus bellum dissuadens dicit *καίτοι ἔγωγε καὶ τιμῶμαι ἐκ τοῦ τοιούτου καὶ ἧσσον ἑτέρων περὶ τῷ ἐμαυτοῦ σώματι ὀρρωδῶ... ὅμως δὲ οὔτε ἐν τῷ πρότερον χρόνῳ διὰ τὸ προτιμᾶσθαι εἶπον παρὰ γνώμην, οὔτε νῦν, ἀλλὰ ᾗ ἂν γιγνώσκω βέλτιστα, ἐρῶ.* Lysias XXXI, 2 *ἐγὼ ποιήσομαι τὴν κατηγορίαν, οὐ μέντοι γε ἰδίαν ἔχθραν οὐδεμίαν μεταπορευόμενος οὐδὲ τῷ δύνασθαι καὶ εἰωθέναι λέγειν ἐν ὑμῖν ἐπαρθείς, ἀλλὰ τῷ πλήθει τῶν ἁμαρτημάτων αὐτοῦ πιστεύων.*

p. 56 v. 2. *τοὺς δὲ διαβεβλημένους*] ut Pericles ap. Thucyd. II, 60, Alcibiades VI, 89—92. conf. Mytilenaei III, 9. Locos quibus adversariorum *διαβολὰς* diluamus, Aristoteles Rhet. III, 15 exposuit.

v. 4. *αὗται δὲ αἱ διαβολαὶ*] haec corrupta sunt; primum enim e tribus illis, si a persona fiat calumnia, docet, quo finito ad secundum ex re et tertium ex oratione transit; *τὰς μὲν οὖν περὶ αὐτὸν τὸν ἄνθρωπον διαβολὰς ἐν ταῖς δημηγορίαις ἐκ τῶν τοιούτων λύειν ἐπιχειρήσομεν, αἱ δὲ περὶ τὸ πρᾶγμα γίνονται.* Ergo nostro loco illud *αὗται* mutandum in *αὐτῶν* vel *αὐτοῦ*.

v. 8. *ὡς οὐδ' αὐτὸς ἀγνοῶ διαβεβλημένος ἀλλ' ἐπιδείξω ψευδεῖς οὔσας τὰς διαβολὰς*] Pericles ap. Thuc. II, 60 *καὶ προσδεχομένῳ μοι τὰ τῆς ὀργῆς ὑμῶν εἰς ἐμὲ γεγένηται· αἰσθάνομαι γὰρ τὰς αἰτίας· καὶ ἐκκλησίαν τούτου ἕνεκα ξυνήγαγον, ὅπως ὑπομνήσω καὶ μέμψομαι, εἴ τι μὴ ὀρθῶς ἢ ἐμοὶ χαλεπαίνετε ἢ ταῖς ξυμφοραῖς εἴκετε.* Alcibiades VI, 89 *ἀναγκαῖον περὶ τῆς ἐμῆς διαβολῆς πρῶτον εἰς ὑμᾶς εἰπεῖν, ἵνα μὴ χεῖρον τὰ κοινὰ τῷ ὑπόπτῳ μου ἀκροάσησθε.*

v. 15. *καὶ ῥητέον*] haec me offendunt; cum enim alterum sequatur *ἂν δ' ἐπίδοξος ἡ κρίσις ᾖ γενέσθαι*, et tertium *ἐὰν δὲ οἱ ἐγκαλέσαντες μὴ ἐπεξίωσιν*, primum ut indicaret, negligere non debebat autor v. c. *καὶ εἰ μὲν ἐγένετο, ῥητέον.*

Exemplum est Demosth. oratio adv. Eubulidem §. 1—7 pag. 1299 in qua Euxitheos demotarum suffragiis e civitate eiectus iudices adit et Eubulidis fraudibus se circumventum esse queritur; idem verbum ibi invenitur *οἱ κατεστασιασμένοι* §. 2, *καταστασιασθεὶς* §. 7. Isaei V, 8—9 ibiq. Schoemann.

v. 19. *ἂν δ' ἐπίδοξος ἡ κρίσις ᾖ γενέσθαι, λεκτέον ὡς ἕτοιμος εἶ περὶ τῶν διαβολῶν ἐν τοῖς καθημένοις ἤδη κρίνεσθαι, κἂν ἐλεγχθῇς τι τὴν πόλιν ἀδικῶν ἀποθνήσκειν ὑποτιμῶ.*] huius praecepti ex deliberativo genere desunt exempla, at vide haec ex iudiciali: Aeschines *περὶ παραπρ.* §. 5 *ὑμᾶς μὲν οὖν ἐπαινῶ καὶ διαφερόντως ἀγαπῶ, ὅτι*

τῷ βίῳ μᾶλλον τῷ τῶν κρινομένων πιστεύετε ἢ ταῖς παρὰ τῶν ἐχθρῶν αἰτίαις· αὐτὸς δ' οὐκ ἂν ἀποσταίην τῆς πρὸς ταῦτ' ἀπολογίας. εἰ γάρ τις ἢ τῶν ἔξωθεν περιεστηκότων πέπεισται... ἢ τῶν δικαζόντων ὑμῶν, ὡς ἐγὼ τοιοῦτόν τι διαπέπραγμαι μὴ μόνον εἰς ἐλεύθερον σῶμα ἀλλὰ καὶ εἰς τὸ τυχόν, ἀβίωτον εἶναί μοι τὸν λοιπὸν βίον νομίζω· κἂν μὴ προϊούσης τῆς ἀπολογίας ἐξελέγξω καὶ τὴν αἰτίαν οὖσαν ψευδῆ καὶ τὸν τολμήσαντ' εἰπεῖν ἀνόσιον καὶ συκοφάντην, κἂν τἆλλα πάντα μηδὲν ἀδικῶν φαίνωμαι, θανάτου τιμῶμαι. conf. §. 59. 127. 159. Dinarch. in Demosth. §. 51. Andocides de myster. §. 32 ὥστ' ἐγὼ ὑμῖν πολὺ μᾶλλον τῶν κατηγόρων πρὸς τοῖν θεοῖν ἐπισκήπτω, ὑπέρ τε τῶν ἱερῶν ἃ εἴδετε, καὶ ὑπὲρ τῶν Ἑλλήνων οἳ τῆς ἑορτῆς ἕνεκεν ἔρχονται δεῦρο· εἰ μέν τι ἠσέβηκα ἢ ὡμολόγηκα ἢ ἐμήνυσα κατά τινος ἀνθρώπου, ἢ ἄλλος τις περὶ ἐμοῦ, ἀποκτείνατέ με· οὐ παραιτοῦμαι.

v. 23. ἐὰν δὲ οἱ ἐγκαλέσαντες μὴ ἐπεξίωσιν, αὐτὸ τοῦτο χρὴ σημεῖον ποιεῖσθαι, διότι τὴν διαβολὴν ψευδῶς ἡμῶν κατήνεγκαν] Aeschines περὶ παραπρ. §. 139 ἐχθρὸς δ' ὢν οὔπω καὶ τήμερον ἠθέληκάς με εἰσαγγεῖλαι παραπρεσβεύσασθαι; οὐ γὰρ δὴ φθονεῖς γέ μοι τῶν εἰς τὸ σῶμα τιμημάτων. sumptum videtur praeceptum ex Isocrat. Antidosis §. 33—4 ubi eadem ratio quam noster affert, exhibetur: ὅτι μὲν οὖν οὐδεὶς οὔθ' ὑπὸ τῆς δεινότητος τῆς ἐμῆς οὔθ' ὑπὸ τῶν συγγραμμάτων βέβλαπται τῶν πολιτῶν, τὸν ἐνεστῶτα κίνδυνον ἡγοῦμαι μέγιστον εἶναι τεκμήριον. εἰ γάρ τις ἦν ἠδικημένος, εἰ καὶ τὸν ἄλλον χρόνον ἡσυχίαν εἶχεν, οὐκ ἂν ἠμέλησε τοῦ καιροῦ τοῦ παρόντος, ἀλλ' ἦλθεν ἂν ἤτοι κατηγορήσων ἢ καταμαρτυρήσων... οὐ γὰρ δὴ τοῦτό γ' ἐστὶν οὔτ' εἰκὸς οὔτε δυνατὸν ἐμὲ μὲν περὶ πολλοὺς ἡμαρτηκέναι, τοὺς δὲ ταῖς συμφοραῖς δι' ἐμὲ περιπεπτωκότας ἡσυχίαν ἔχειν καὶ μὴ τολμᾷν ἐγκα-

λεῖν, ἀλλὰ πραοτέρους ἐν τοῖς ἐμοῖς εἶναι κινδύνοις τῶν μηδὲν ἠδικημένων, ἐξὸν αὐτοῖς δηλώσασιν ἃ πεπόνθασι τὴν μεγίστην παρ' ἐμοῦ λαβεῖν τιμωρίαν. Demosth. pro Ctesiph. §. 251. At facilem habent excusationem, cur ante non accusaverint, oratores, ut Demosth. in Aristocr. §. 187—90 p. 683. Aeschines in Ctesiph. §. 220 seqq. Lysias XIII, 83—4 qui hanc dat rationem οὐ γὰρ οἶμαι οὐδεμίαν τῶν τοιούτων ἀδικημάτων προθεσμίαν εἶναι, et deinde argute εἰ δὲ πάλαι δέον τιμωρεῖσθαι ὕστερον ἡμεῖς τιμωρούμεθα, τὸν χρόνον κερδαίνει ὃν ἔζη οὐ προσῆκον αὐτῷ.

v. 26. ἀεὶ δὲ κατηγορεῖν χρὴ διαβολῆς καὶ λέγειν ὡς δεινὸν καὶ κοινὸν καὶ πολλῶν κακῶν αἴτιον] Aristot. Rhet. III, 15 ἄλλος (τόπος) ἐκ τοῦ διαβολῆς κατηγορεῖν ἡλίκον καὶ τοῦτο ὅτι ἄλλας κρίσεις ποιεῖ, ubi plura congessimus exempla; at primarius locus est Isocratis, unde nostra sumpta sunt, nam et seqq. πολλοὶ ἤδη διεφθάρησαν ἀδίκως διαβληθέντες insunt Antidos. §. 18 seqq. et optime inde qua ratione orator praeceptum sequatur docemur: οὐ θαυμάζω δὲ τῶν πλείω χρόνον διατριβόντων ἐπὶ ταῖς τῶν ἐξαπατώντων κατηγορίαις ἢ ταῖς ὑπὲρ αὐτῶν ἀπολογίαις, οὐδὲ τῶν λεγόντων ὡς ἐστι μέγιστον κακὸν διαβολή. τί γὰρ ἂν γένοιτο ταύτης κακουργότερον, ἢ ποιεῖ τοὺς μὲν ψευδομένους εὐδοκιμεῖν, τοὺς δὲ μηδὲν ἡμαρτηκότας δοκεῖν ἀδικεῖν, τοὺς δὲ δικάζοντας ἐπιορκεῖν, ὅλως δὲ τὴν μὲν ἀλήθειαν ἀφανίζει, ψευδῆ δὲ δόξαν παραστήσασα τοῖς ἀκούουσιν ὃν ἂν τύχῃ τῶν πολιτῶν ἀδίκως ἀπόλλυσιν; ἃ φυλακτέον ἐστίν, ὅπως μηδὲν ὑμῖν συμβήσεται τοιοῦτον, μηδ' ἃ τοῖς ἄλλοις ἂν ἐπιτιμήσαιτε τούτοις αὐτοὶ φανήσεσθε περιπίπτοντες. οἶμαι δ' ὑμᾶς οὐκ ἀγνοεῖν ὅτι τῇ πόλει πολλάκις οὕτως ἤδη μετεμέλησε τῶν κρίσεων τῶν μετ' ὀργῆς καὶ μὴ μετ' ἐλέγχου γενομένων, ὥστ' οὐ πολὺν χρόνον διαλιποῦσα

παρὰ μὲν τῶν ἐξαπατησάντων δίκην λαβεῖν ἐπεθύμησε, τοὺς δὲ διαβληθέντας ἡδέως ἂν εἶδεν ἄμεινον ἢ πρότερον πράττοντας. ὧν χρὴ μεμνημένους μὴ προπετῶς πιστεύειν τοῖς τῶν κατηγόρων λόγοις, μηδὲ μετὰ θορύβου καὶ χαλεπότητος ἀκροᾶσθαι τῶν ἀπολογουμένων. Antiph. V, 91.

p. 57 v. 3. *χρὴ δὲ καὶ διδάσκειν ὡς εὐηθές ἐστιν*] vide similes locos quos autor ipse dedit cap. 18, et quae Isocrat. l. c. porro §. 20—8. Demosth. in Ctesiphont. §. 160 p. 281 *ἃ πολλῶν μὲν ἕνεκ' ἂν εἰκότως ἀκούσαιτέ μου, μάλιστα δὲ ὅτι αἰσχρόν ἐστιν ὦ ἄ. Ἀ. εἰ μὲν ἐγὼ τὰ ἔργα τῶν ὑπὲρ ὑμῶν πόνων ὑπέμεινα, ὑμεῖς δὲ μηδὲ τοὺς λόγους αὐτῶν ἀνέξεσθε.* Egregium deliberativi generis exemplum Diodoti est adversus Cleonem disputantis III, 42 integrum caput comprehendens, e quo haec transferre licet: *χρὴ δὲ τὸν μὲν ἀγαθὸν πολίτην μὴ ἐκφοβοῦντα τοὺς ἀντεροῦντας, ἀλλ' ἀπὸ τοῦ ἴσου φαίνεσθαι ἄμεινον λέγοντα, τὴν δὲ σώφρονα πόλιν τῷ τε πλεῖστα εὖ βουλεύοντι μὴ προστιθέναι τιμήν, ἀλλὰ μηδ' ἐλασσοῦν τῆς ὑπαρχούσης, καὶ τὸν μὴ τυχόντα γνώμης οὐχ ὅπως ζημιοῦν ἀλλὰ μηδ' ἀτιμάζειν. οὕτω γὰρ ὅ τε κατορθῶν ἥκιστα ἂν ἐπὶ τῷ ἔτι μειζόνων ἀξιοῦσθαι παρὰ γνώμην τι καὶ πρὸς χάριν λέγοι ὅ τε μὴ ἐπιτυχὼν ὀρέγοιτο τῷ αὐτῷ χαριζόμενός τι καὶ αὐτὸς προσάγεσθαι τὸ πλῆθος.* I, 73 *τὰ δὲ Μηδικὰ καὶ ὅσα αὐτοὶ ξύνιστε, εἰ καὶ δι' ὄχλου μᾶλλον ἔσται, ἀεὶ προβαλλομένοις ἀνάγκη λέγειν· καὶ γὰρ ὅτε ἐδρῶμεν, ἐπ' ὠφελείᾳ ἐκινδυνεύετο, ἧς τοῦ μὲν ἔργου μέρος μετέσχετε, τοῦ δὲ λόγου μὴ παντός, εἴ τι ὠφελεῖ, στερισκώμεθα.* adde Demosth. prooemia 4. 5. De eo qui causam dicit Andocid. I §. 7 *ὁπότ' οὖν ἤδη πολλὰ τοιαῦτα γεγένηνται, εἰκὸς ὑμᾶς ἐστι μήπω τοὺς τῶν κατηγόρων λόγους πιστοὺς ἡγεῖσθαι. εἰ μὲν γὰρ δεινὰ κατηγόρηται ἢ μή, οἷόν τε γνῶναι ἐκ τῶν τοῦ κατηγόρου λόγων, εἰ δὲ ἀληθῆ ταῦτ' ἔστιν ἢ ψευδῆ, οὐχ οἷόν τε ὑμᾶς*

πρότερον εἰδέναι πρὶν ἂν καὶ ἐμοῦ ἀκούσητε ἀπολογουμένου. quam sententiam Isocrates amplificans sic transtulit Antid. §. 17 *δέομαι οὖν ὑμῶν μήτε πιστεύειν πω μήτ' ἀπιστεῖν τοῖς εἰρημένοις, πρὶν ἂν διὰ τέλους ἀκούσητε καὶ τὰ παρ' ἡμῶν, ἐνθυμουμένους ὅτι οὐδὲν ἂν ἔδει δίδοσθαι τοῖς φεύγουσιν ἀπολογίαν, εἴ περ οἷόν τ' ἦν ἐκ τῶν τοῦ διώκοντος λόγων ἐψηφίσθαι τὰ δίκαια. νῦν δ' εἰ μὲν εὖ τυγχάνει κατηγορηκὼς ἢ κακῶς, οὐδεὶς ἂν τῶν παρόντων ἀγνοήσειεν, εἰ δὲ ἀληθέσι κέχρηται τοῖς λόγοις, οὐκέτι τοῦτο τοῖς κρίνουσι γνῶναι ῥᾴδιον ἐξ ὧν ὁ πρότερος εἴρηκεν, ἀλλ' ἀγαπητὸν ἦν ἐξ ἀμφοτέρων τῶν λόγων ἐκλαβεῖν δυνηθῶσι τὸ δίκαιον.*

v. 6. *δεῖ δὲ καὶ ἐπαγγέλλεσθαι [καὶ ὑπισχνεῖσθαι] δίκαια καὶ συμφέροντα καὶ καλὰ ἐπιδείξειν ἃ ὑπέσχου συμβουλεύειν]* id nunquam omittunt oratores, sed ubique prae se ferunt.

v. 12. *ἐάν τε γὰρ νέος παντελῶς ἐάν τε πρεσβύτης δημηγορῇ, δυσχεραίνεται]* Andocides IV, 21 de Alcibiade *αἴτιοι δ' ὑμεῖς οὐ τιμωρούμενοι τοὺς ὑβρίζοντας, καὶ τοὺς μὲν λάθρᾳ ἀδικοῦντας κολάζοντες, τοὺς δὲ φανερῶς ἀσελγαίνοντας θαυμάζοντες. τοιγάρτοι τῶν νέων αἱ διατριβαὶ οὐκ ἐν τοῖς γυμνασίοις ἀλλ' ἐν τοῖς δικαστηρίοις εἰσί, καὶ στρατεύονται μὲν οἱ πρεσβύτεροι, δημηγοροῦσι δὲ οἱ νεώτεροι παραδείγματι τούτῳ χρώμενοι.*

v. 14. *ἔπειτα ἐὰν συνεχῶς εἰώθῃ λέγειν, πολυπράγμων γὰρ εἶναι δοκεῖ οὗτος]* Aeschines in Ctesiph. §. 220 *ἐπιτιμᾷς δέ μοι, εἰ μὴ συνεχῶς ἀλλὰ διαλείπων πρὸς τὸν δῆμον προσέρχομαι, καὶ τὴν ἀξίωσιν ταύτην οἴει λανθάνειν ἡμᾶς μεταφέρων οὐκ ἐκ δημοκρατίας ἀλλ' ἐξ ἑτέρας πολιτείας. ἐν μὲν γὰρ ταῖς ὀλιγαρχίαις οὐχ ὁ βουλόμενος ἀλλ' ὁ δυναστεύων κατηγορεῖ, ἐν δὲ ταῖς δημοκρατίαις ὁ βουλόμενος καὶ ὅταν αὐτῷ δόξῃ. καὶ τὸ μὲν διὰ χρόνου λέγειν σημεῖόν ἐστιν ἐπὶ τῶν καιρῶν καὶ τοῦ συμφέροντος*

ἀνδρὸς πολιτευομένου, τὸ δὲ μηδεμίαν παραλείπειν ἡμέραν ἐργαζομένου καὶ μισθαρνοῦντος. conf. Dem. §. 307 seq. ubi est *ὁπηνίκ' ἐστὲ μεστοὶ τοῦ συνεχῶς λέγοντος.*

v. 17. *ἐκ μὲν οὖν τοῦ παρόντος χρόνου διαβολαὶ περὶ τὸν δημηγοροῦντα τοιαῦται γενήσονται*] sic meliores libri pro *οὕτω τοι διαβολαὶ π. τ. δ. γ.* quod certe in *οὕτως αἱ διαβολαὶ* mutandum esset. cap. 36 *περὶ μὲν οὖν αὐτὸν τὸν ἄνθρωπον ἐκ τοῦ παρόντος χρόνου τοιαῦται γενήσονται διαβολαί.*

v. 19. *προφασίζεσθαι δὲ ὑπὲρ αὐτῶν δεῖ τὸν μὲν νεώτερον ἐκ τῆς ἐρημίας τῶν συμβουλευόντων*] mire se defendit de hac re Mantitheus apud Lysiam XVI, 20 in fine orationis *ἤδη δέ τινων ᾐσθόμην ὦ βουλὴ καὶ διὰ ταῦτα ἀχθομένων μοι, ὅτι νεώτερος ὢν ἐπεχείρησα λέγειν ἐν τῷ δήμῳ. ἐγὼ δὲ τὸ μὲν πρῶτον ἠναγκάσθην ὑπὲρ τῶν ἐμαυτοῦ πραγμάτων δημηγορῆσαι, ἔπειτα μέντοι καὶ ἐμαυτῷ δοκῶ φιλοτιμότερον διατεθῆναι τοῦ δέοντος ἅμα μὲν τῶν προγόνων ἐνθυμούμενος, ὅτι οὐδὲν πέπαυνται τὰ τῆς πόλεως πράττοντες, ἅμα δὲ ὑμᾶς ὁρῶν (τὰ γὰρ ἀληθῆ χρὴ λέγειν) τούτους μόνους ἀξίους νομίζοντας εἶναι, ὥστε ὁρῶν ὑμᾶς ταύτην τὴν γνώμην ἔχοντας τίς οὐκ ἂν ἐπαρθείη πράττειν καὶ λέγειν ὑπὲρ τῆς πόλεως; ἔτι δὲ τί ἂν τοῖς τοιούτοις ἄχθοισθε; οὐ γὰρ ἕτεροι περὶ αὐτῶν κριταί εἰσιν ἀλλ' ὑμεῖς.* Ex iudiciali genere exemplum est Antiphont. I, 1 *νέος μὲν καὶ ἄπειρος δικῶν ἔγωγε ἔτι, δεινῶς δὲ καὶ ἀπόρως ἔχει μοι περὶ τοῦ πράγματος* ubi Maetzner p. 127 laudat Isaeum VIII, 2 (quae et ap. Demosth. adv. Aphob. §. 2) et Isaei fragm. V, 2 *δέομαι οὖν ὑμᾶς συγγνώμην ἔχειν, εἰ καὶ νεώτερος ὢν λέγειν ἐπὶ δικαστηρίου τετόλμηκα· διὰ γὰρ τοὺς ἀδικοῦντας ἀναγκάζομαι παρὰ τὸν ἐμαυτοῦ τρόπον τοιοῦτόν τι ποιεῖν.* At factum est hoc praeceptum et quae sequuntur de iuvene ex Isocratis Archidamo, nisi potius, quod equidem verum puto, hunc

ipsum regulas dedisse ex iisque orationem composuisse dixeris; atque hoc exemplum iam veteres laudarunt, incertus rhetor in Notices et extraits tom. XIV, 189 *χρήσιμον δὲ [διὰ] καὶ νέον εἰς παίδευσιν ἀναφέρειν ἢ [εἶναι] γένεσιν, καὶ ὅτι οὐδὲν κωλύει καὶ τοὺς νέους εἰδέναι τι τῶν χρησίμων, ὡς ὁ παρ᾽ Ἰσοκράτει Ἀρχίδαμος.* Theophilus ap. Fabric. XIII, 675: *ἐκ μὲν οὖν τῶν προσώπων τοιάδε ἀντιπίπτειν ἐνδέχεται, οἷον φέρε εἰπεῖν· τίς ὢν λέγεις καὶ πρὸς τίνας, εἰ νεώτερος πρὸς πρεσβυτέρους συνέσει τε καὶ σοφίᾳ κεκοσμημένους, ὃ μάλιστα τῷ Ἰσοκράτει διώκεται ἐν Ἀρχιδάμῳ.* vid. locum supra ad cap. 18 allatum. Busirid. §. 50.

v. 20. *καὶ ἐκ τοῦ προσήκοντος τούτῳ, λέγω δ᾽ οἷον ὑπὲρ λαμπαδαρχίας ἢ ὑπὲρ γυμνασίου ἢ ὑπὲρ ὅπλων ἢ ἵππων ἢ περὶ πολέμου· τούτων γὰρ οὐχ ἐλάχιστον μέρος τῷ νέῳ μέτεστιν*] haec quod ad postremum, *πόλεμον*, attinet, paucis argumentum indicant eorum quae Archidamus dicit; ut enim initio §. 1—2 *ἐρημίαν τῶν ἀξίως τῆς πόλεως συμβουλευόντων* causatus est, ita nunc haec pronunciat §. 3 *ἡγοῦμαι δ᾽ εἰ καὶ περὶ τῶν ἄλλων πρέπει τοὺς τηλικούτους σιωπᾷν, περί γε τοῦ πολεμεῖν ἢ μὴ προσήκειν τούτους μάλιστα συμβουλεύειν, οἵ περ καὶ τῶν κινδύνων πλεῖστον μέρος μεθέξουσιν, ἄλλως τε δὴ καὶ τοῦ γνῶναί τι τῶν δεόντων ἐν κοινῷ καθεστῶτος ἡμῖν. εἰ μὲν γὰρ ἦν ἀποδεδειγμένον, ὥστε τοὺς μὲν πρεσβυτέρους περὶ ἁπάντων εἰδέναι τὸ βέλτιστον, τοὺς δὲ νεωτέρους μηδὲ περὶ ἑνὸς ὀρθῶς γιγνώσκειν, καλῶς ἂν εἶχεν ἀπείργειν ἡμᾶς τοῦ συμβουλεύειν. ἐπειδὴ δ᾽ οὐ τῷ πλήθει τῶν ἐτῶν πρὸς τὸ φρονεῖν εὖ διαφέρομεν ἀλλήλων, ἀλλὰ τῇ φύσει καὶ ταῖς ἐπιμελείαις, πῶς οὐκ ἀμφοτέρων χρὴ τῶν ἡλικιῶν πεῖραν λαμβάνειν, ἵν᾽ ἐξ ἁπάντων ὑμῖν ἐξῇ τῶν ῥηθέντων ἑλέσθαι τὰ συμφορώτατα.* vides ex hoc loco sumpta esse verba nostri autoris *ῥητέον δὲ καὶ ὡς εἰ μήπω καθ᾽ ἡλικίαν τὸ φρονεῖν*

ἀλλὰ κατὰ φύσιν καὶ ἐπιμέλειαν. Aliud exemplum praebet Thucydides: Nicias VI, 12 Alcibiadis mores et iuventutem increpat εἴ τε τις ἄρχειν ἄσμενος αἱρεθεὶς παραινεῖ ὑμῖν ἐκπλεῖν, τὸ ἑαυτοῦ μόνον σκοπῶν, ἄλλως τε καὶ νεώτερος ἔτι ὢν ἐς τὸ ἄρχειν, ὅπως θαυμασθῇ μὲν ἀπὸ τῆς ἱπποτροφίας, διὰ δὲ πολυτέλειαν καὶ ὠφεληθῇ τι ἐκ τῆς ἀρχῆς, μηδὲ τούτῳ ἐμπαράσχητε τῷ τῆς πόλεως κινδύνῳ ἰδίᾳ ἐλλαμπρύνεσθαι, νομίσατε δὲ τοὺς τοιούτους τὰ μὲν δημόσια ἀδικεῖν, τὰ δὲ ἴδια ἀναλοῦν, καὶ τὸ πρᾶγμα μέγα εἶναι καὶ μὴ οἷον νεωτέρῳ βουλεύσασθαί τε καὶ ὀξέως μεταχειρίσαι. haec refellens Alcibiades VI, 16—18, postquam quae effecerit narravit, sic concludit cap. 17 καὶ ταῦτα ἡ ἐμὴ νεότης καὶ ἄνοια παρὰ φύσιν δοκοῦσα εἶναι ἐς τὴν Πελοποννησίων δύναμιν λόγοις τε πρέπουσιν ὡμίλησε καὶ ὀργῇ πίστιν παρασχομένη ἔπεισε, καὶ νῦν μὴ πεφόβησθε αὐτήν, ἀλλ' ἕως ἐγώ τε ἔτι ἀκμάζω μετ' αὐτῆς καὶ ὁ Νικίας εὐτυχὴς δοκεῖ εἶναι, ἀποχρήσασθε τῇ ἑκατέρου ἡμῶν ὠφελίᾳ.

p. 58 v. 2. ἐμφανιστέον δὲ καὶ ὡς ἁμαρτόντι μὲν ἴδιον τὸ ἀτύχημα, κατορθώσαντι δὲ κοινὴ ἡ ὠφέλεια] Archidamus ibidem §. 5 pergens θαυμάζω δὲ ὅσοι τριήρων μὲν ἡγεῖσθαι καὶ στρατοπέδων ἄρχειν ἀξιοῦσιν ἡμᾶς, ὑπὲρ ὧν μὴ καλῶς βουλευσάμενοι πολλαῖς ἂν συμφοραῖς καὶ μεγάλαις τὴν πόλιν περιβάλοιμεν, εἰπεῖν δ' ἃ γιγνώσκομεν περὶ ὧν ὑμεῖς μέλλετε κρίνειν [scrib. κρινεῖν] οὐκ οἴονται δεῖν ἡμᾶς, ἐν οἷς κατορθώσαντες μὲν ἅπαντας ἂν ὠφελήσαιμεν, διαμαρτόντες δὲ τῆς ὑμετέρας γνώμης αὐτοὶ μὲν ἴσως φαυλότεροι δόξομεν εἶναι, τὸ δὲ κοινὸν οὐδὲν ἂν ζημιώσαιμεν. Alcibiades VI, 16 ὧν γὰρ πέρι ἐπιβόητός εἰμι, τοῖς μὲν προγόνοις μου καὶ ἐμοὶ δόξαν φέρει ταῦτα, τῇ δὲ πατρίδι καὶ ὠφελίαν. Antisthenis Ulyxes: καίτοι ἐν μὲν ταῖς κοιναῖς μάχαις οὐδὲ εἰ καλῶς ἀγωνίζοισθε πλέον ἐγίγνετο οὐδέν·

ἐν δὲ τοῖς ἐμοῖς κινδύνοις, οὓς ἐγὼ μόνος ἐκινδύνευον, εἰ μὲν κατορθώσαιμι, ἅπαντα ὑμῖν ἐπετελεῖτο ὧν ἕνεκα δεῦρο ἀφίγμεθα· εἰ δὲ σφαλείην [scrib. *δ' ἐσφάλην*], *ἐμοῦ ἂν ἑνὸς ἀνδρὸς ἐστέρησθε.*

v. 4. *γέροντι δὲ προφασιστέον λέγοντι*] Isocrates in Panathenaico, sed alia ex causa, quod elocutionis exornationes non eadem ratione qua iuvenis elaborare posset; Nicias ap. Thucyd. VI, 9—14 seniores adhortans, ut iuniorum audaciae et temeritati resistant *ὑπὲρ τῆς πατρίδος ὡς μέγιστον δὴ τῶν πρὶν κίνδυνον ἀναρριπτούσης.* Incertus rhetor in Notices tom. XIV, 189 *ἐὰν δὲ παλαιός, λέγε ὅτι οὐ δεῖ τούτων* [fortasse *τοῦτο*] *μέμφεσθαι, ἀλλ' εἰ πεποίηκε τοῦτο δεικτέον, ἢ εἰ μή ἐστιν ἀληθῆ. ἀλλ' οὕτι* [fortasse *ἀληθές, ἄλλο τι*] *καθόλου λέγε· πρὸς μὲν γὰρ τὰ διαβεβλημένα πάνυ πειρῶ προάγειν ἀπολογίαν ἣν ἂν δύναιο, εἰ δὲ μή, πάρες τὸν περὶ τούτου λόγον· ἐγχωρεῖ γὰρ καὶ τὸν κατήγορον ἔλαττον ἢ πρὸς πίστιν εἰρηκέναι, τὰ δὲ σαθρότερα ἀνατρέπειν πειρῶ.*

v. 9. *πρότερον δὴ λέγοντα*] *δὴ* sensu caret, *δεῖ* M, unde *ἀεὶ*, quod convenit, restituimus; sic Arist. Polit. IV, 11 pag. 1296, 7 etiam nunc legitur *δεῖ γὰρ ἀναγκαῖον εἶναι βελτίω τὴν ἐγγύτατα ταύτης, χείρω δὲ τὴν ἀφεστηκυῖαν τοῦ μέσου πλεῖον.* scribe *ἀεὶ*.

v. 10. *τῷ δὲ μὴ εἰθισμένῳ*] desunt mihi ex hoc genere exempla: nam Demosth. Phil. I et similia parum probant, sed quae supra de iuvene dixit, huc referas. Ex iudiciali genere Antiphont. tetral. II, *β νῦν δὲ φανερόν μοι ὅτι αὐταὶ αἱ συμφοραὶ καὶ χρεῖαι τούς τε ἀπράγμονας εἰς ἀγῶνας... τούς τε ἡσυχίους τολμᾷν τά τε ἄλλα παρὰ φύσιν λέγειν καὶ δρᾷν βιάζονται. ἐγὼ γὰρ ἥκιστα τοιοῦτος ὢν καὶ βουλόμενος εἶναι, εἰ μὴ πολύ γε ἔψευσμαι, ὑπ' αὐτῆς τῆς συμφορᾶς ἠναγκάσθην παρὰ τὸν ἄλλον τρόπον ὑπὲρ πραγμάτων ἀπολογεῖσθαι, ὧν ἐγὼ χαλεπῶς μὲν τὴν ἀκρί-*

βειαν ἔγνων, ἔτι δὲ ἀπορωτέρως διάκειμαι ὡς χρὴ ὑμῖν ἑρμηνεῦσαι ταῦτα. conf. adversarii oratio §. 1. Demosth. in Aristocr. §. 4—5 οὐχὶ τῶν ἐνοχλούντων ὑμᾶς οὐδὲ τῶν πολιτευομένων καὶ πιστευομένων παρ' ὑμῖν... ἐγὼ γοῦν, ὀμνύω τοὺς θεοὺς ἅπαντας, ἀπώκνησ' ἂν εὖ ἴστε καὶ αὐτὸς τὴν γραφὴν ταύτην ἀπενεγκεῖν, εἰ μὴ πάνυ τῶν αἰσχρῶν ἐνόμιζον εἶναι νῦν μὲν ἡσυχίαν ἄγειν καὶ σιωπῆσαι πρᾶγμα ἀλυσιτελὲς τῇ πόλει κατασκευάζοντας ὁρῶν τινας ἀνθρώπους.

v. 15. *αἱ δὲ περὶ τὸ πρᾶγμα γίνονται μὲν ὅταν τις ἡσυχίαν πρὸς τοὺς μηδὲν ἀδικοῦντας ἢ πρὸς τοὺς κρείττονας συμβουλεύῃ*] sic Nicias VI, 9 Atheniensibus bellum contra Siculos *μηδὲν ἀδικοῦντας* dissuadens haud gratus est, sed *διαβεβλημένος*. similia vid. in Isocrat. orat. de pace §. 5 seqq. at hoc loco universalis requiritur sententia, neque unquam Athenienses se *μηδὲν ἀδικοῦσι* bellum inferre dicere audebant; quaerebant causas et praetextus quibus eos *ἀδικοῦντας* esse simularent; unde negationem *μηδὲν* delendam esse apparet. Autor et hic Isocratis Archidamum intelligere videtur.

v. 20. *ἔπειτα τὴν αἰτίαν εἰς τὴν ἀνάγκην καὶ τὴν τύχην καὶ τοὺς καιροὺς καὶ τὸ συμφέρον ἀναφέρειν*] Isocr. Archidamus §. 34 *λέγουσι δὲ οἱ συμβουλεύοντες ἡμῖν ποιεῖσθαι τὴν εἰρήνην, ὡς χρὴ τοὺς εὖ φρονοῦντας μὴ τὴν αὐτὴν γνώμην ἔχειν περὶ τῶν πραγμάτων εὐτυχοῦντας καὶ δυστυχοῦντας, ἀλλὰ πρὸς τὸ παρὸν ἀεὶ βουλεύεσθαι καὶ ταῖς τύχαις ἐπακολουθεῖν καὶ μὴ μεῖζον φρονεῖν τῆς δυνάμεως, μηδὲ τὸ δίκαιον ἐν τοῖς τοιούτοις καιροῖς ἀλλὰ τὸ συμφέρον ζητεῖν*, quorum sententiam deinceps refellit. Diodotus contra Cleonem pro Mytilenaeis causam dicens III, 44. Aeschines *περὶ παραπρ.* §. 130—3.

p. 59 v. 2. *ἐὰν μὲν οὖν μακρὸς ᾖ, τὸ πλῆθος αἰτιατέον*

τῶν πραγμάτων] Lacedaemonii ap. Thuc. IV, 17 *τοὺς δὲ λόγους μακροτέρους οὐ παρὰ τὸ εἰωθὸς μηκυνοῦμεν, ἀλλ' ἐπιχώριον ὂν ἡμῖν, οὗ μὲν βραχεῖς ἀρκοῦσι, μὴ πολλοῖς χρῆσθαι, πλείοσι δὲ ἐν ᾧ ἂν καιρὸς ᾖ διδάσκοντάς τι τῶν προὔργου λόγοις τὸ δέον πράσσειν.* Demosth. exord. 4 *ἐγὼ μὲν οὖν οὔτ' εἴωθα μακρολογεῖν, οὔτ' ἂν εἰ τὸν ἄλλον εἰώθειν χρόνον, νῦν ἐχρησάμην τούτῳ, ἀλλ' ἃ συμφέρειν ὑμῖν νομίζω, ταῦτα ὡς ἂν δύνωμαι διὰ βραχυτάτων ἐρῶ πρὸς ὑμᾶς.*

v. 3. *ἐὰν δὲ ἀρχαῖος, διδακτέον ὅτι νῦν καιρὸς αὐτοῦ εἴη*] Aeschines in Timarch. §. 4 *οὐκ ἀγνοῶ δὲ ὦ ἄνδρες Ἀ. ὅτι ἃ μέλλω ἐν πρώτοις λέγειν φανεῖσθε καὶ ἑτέρων ἤδη πρότερον ἀκηκοότες, ἀλλά μοι δοκεῖ καιρὸς εἶναι καὶ ἐμὲ νῦν πρὸς ὑμᾶς τῷ αὐτῷ λόγῳ τούτῳ χρήσασθαι.* in Ctesiph. §. 53 *ταῦτα μὲν οὖν μοι δοκῶ καὶ τἆλλα τὰ τούτοις ὅμοια ὑπερβήσεσθαι, οὐ προδιδοὺς ὑμᾶς οὐδὲ τὸν ἀγῶνα καταχαριζόμενος, ἀλλ' ἐκεῖνο φοβούμενος, μή μοι παρ' ὑμῶν ἀπαντήσῃ τὸ δοκεῖν μὲν ἀληθῆ λέγειν, ἀρχαῖα δὲ καὶ λίαν ὁμολογούμενα.* Demosth. exord. 48. *ἴσως ὀχληρὸς ὦ ἄ. Ἀ. τισιν ὑμῶν εἶναι δοκῶ πολλάκις λέγων περὶ τῶν αὐτῶν ἀεί. ἀλλ' ἐὰν ὀρθῶς σκοπῆτε, οὐκ ἐγὼ φανήσομαι τούτου δίκαιος ὢν ἔχειν τὴν αἰτίαν, ἀλλ' οἱ μὴ πειθόμενοι τοῖς ὑμετέροις ψηφίσμασιν.* ut Lycurg. in Leocr. §. 16. Isocrat. Paneg. §. 74. Phil. §. 11 seqq. *τὰ παλαιὰ* quoque elocutionis opera nova ratione, *καινῶς*, tractari posse, Isocrat. docet Paneg. §. 8 ubi vid. interpp.

v. 4. *εἰ δὲ ἀπίθανος, ὑπισχνεῖσθαι δεῖ ὡς ἀληθῆ ἐπιδείξεις ἐπὶ τοῦ λόγου*] Incertus rhetor in Notices de la Bibl. tom. XIV, 189 *ἐὰν δὲ δοκῇς ἄπιστα λέγειν, καὶ αὐτὸ τοῦτο ἐπισημαίνου, καὶ ἐπαγγέλλου δείξειν ὅτι ἀληθῆ λέγεις, ὡς ὁ Δημοσθένης* (622, 29)· *οὐκ ἀγνοῶ μὲν οὖν ὅτι τὸν Χαρίδημον.* Hermocrates ap. Thucyd. VI, 33 *ἄπιστα μὲν ἴσως, ὥσπερ καὶ ἄλλοι τινές, δόξω ὑμῖν περὶ τοῦ*

ἐπίπλου τῆς ἀληθείας λέγειν, καὶ γιγνώσκω ὅτι οἱ τὰ μὴ πιστὰ δοκοῦντα εἶναι ἢ λέγοντες ἢ ἀπαγγέλλοντες οὐ μόνον οὐ πείθουσιν, ἀλλὰ καὶ ἄφρονες δοκοῦσιν εἶναι. ὅμως δὲ οὐ καταφοβηθεὶς ἐπισχήσω, κινδυνευούσης τῆς πόλεως, πείθων γε ἐμαυτὸν σαφέστερόν τι ἑτέρου εἰδὼς λέγειν.

v. 6. *τάξομεν δὲ πῶς*] offendit interrogatio, exspectamus *ὧδε* vel *οὕτως*. mirum cap. 32 *τάττειν δὲ αὐτὰς ὧδε δεῖ* meliores libros *ὡς* praestare, ut utrique loco idem inesse videatur.

v. 10. *ἐὰν δὲ διαβολή τις ᾖ τῶν προειρημένων περὶ ἡμᾶς*] si principium adhibere non licet, insinuatione utere, quod docet ante ceteros aut. ad Herenn. I cap. 6. Diodotus ap. Thucyd. III, 42—3 primum Cleonis calumnias confutat, tum cap. 44 *πρόθεσιν* affert.

CAPUT XXX.

v. 17. *ἀπαγγέλλειν ἢ ἀναμιμνήσκειν*] ne posterius verbum insertum esse credas, autor narrationem *πρεσβείας*, de qua *ἀπαγγέλλειν* dicit, distinguit ab illa quam ipsi *δημηγοροῦντες* facimus, eaque ex praeterito tempore hic *ἀναμιμνήσκειν*, paulo post *τῶν παρεληλυθότων τι διεξιέναι*, ex praesenti *δηλοῦν*, ex futuro *προλέγειν* dicitur; fine capitis *τὰς ἀπαγγελίας καὶ τὰς δηλώσεις καὶ τὰς προρρήσεις* primum vocabulum utrumque, et legationis et alius rei factae narrationem, comprehendit; ita et cap. 31. conf. Rhet. gr. VII, 729. Conf. Alcibiadis narratio ad Lacedaem. Thucyd. VI, 90.

Autor noster narrationem deliberativae orationi tribuit; id vituperat Aristoteles Rhet. III, 13 *νῦν δὲ διαιροῦσι γελοίως· διήγησις γάρ που τοῦ δικανικοῦ μόνου λόγου ἐστίν, ἐπιδεικτικοῦ δὲ καὶ δημηγορικοῦ πῶς ἐνδέχεται εἶναι διήγησιν οἵαν λέγουσιν, ἢ τὰ πρὸς τὸν ἀντίδικον ἢ ἐπίλογον τῶν ἀποδεικτικῶν;* et tamen Aristotelem nostri libri autorem esse somniant. conf. III, 16.

v. 18. *μερίζοντα*] necessario multitudinis numerus erat reponendus, sed nescio quid sit vereorque ne abundet; saepius infra eadem repetit, ubi nusquam hanc notionem invenies additam.

v. 19. *ὅταν μὲν οὖν πρεσβείαν ἀπαγγέλλωμεν*] conf. Aeschinis *παραπρεσβ.* §. 49 seqq. utraque et Aeschinis et Demosthenis oratio talem *ἀπαγγελίαν* praebet. Demosth. §. 29—71. Aesch. de prima legatione §. 20—44, de secunda §. 96—117. adde quae in oratt. in Ctesiphontem et pro Ctesiphonte de iisdem rebus exponuntur; ita enim narrant, ut alter adversarium ubique suspectum seque, ne in re haud grata populo ingratus fiat, omnium expertem reddat, alter simpliciter quae facta sint tradens suspiciones extenuet atque diluat; ille enim *ἀποτετυχηκότας* esse Athenienses eorum quae vellent, ipsumque legatum *διαμαρτεῖν τῆς πράξεως διὰ ῥᾳθυμίαν* Aeschinis sociorumque et proditionem, hic vero id *δι' ἄλλας αἰτίας τινὰς* factum esse studet probare. id qua arte sit factum, maxime perspicies, si quatuor illae orationes accurate excutiuntur. Haud iniucunda lectu est Demosthenis ratio *τοῦ πρεσβείαν ἀπαγγέλλειν*, quam adversarius *παραπρ.* §. 49—53 refert.

v. 22. *ἔπειθ' ὅπως ἂν μὲν ἀποτετυχηκότες ὦμεν*] quod Demosthenis et Aeschinis orationes de legatione optime docent. conf. Lysias XXI, 10 *καὶ ταῦτα οὐκ ἀπὸ τύχης ἐγένετο, ἀλλ' ἀπὸ παρασκευῆς τῆς ἐμῆς· εἶχον γὰρ κτλ.*

p. 60 v. 9. *δεῖ τούτων ἕκαστον ποιεῖν βραχέως καὶ σαφῶς καὶ μὴ ἀπίστως*] hanc doctrinam dedit Isocrates, autore Quintiliano IV, 2: *nunc quae sit narrandi ratio subiungam . . . eam plerique scriptores, maxime qui sunt ab Isocrate, volunt esse lucidam brevem verisimilem . . . eadem nobis placet divisio, quamquam et Aristoteles ab Isocrate parte in una dissenserit, praeceptum brevitatis irridens tanquam necesse sit longam aut brevem esse expositionem nec liceat ire per medium.* vid.

art. script. pag. 168. Isocratem secuti sunt aut. ad Herenn. I c. 9, Cicero Rhet. I, 20 qui alia habet de orat. II, 80 et Top. §. 97, incertus rhetor in Notices XIV, 191—5 qui egregia exhibet, Theon progymn. 4. Iul. Victor p. 244. Rufus III, 452. Rhetor. gr. III, 665. Doxopater II, 119 qui Coracem huius doctrinae autorem esse dicit, alii in rhet. ant. lat.; male his tribus ἑλληνισμὸν addit Aphthonius p. 61, Doxopater II, 134, anonymus III, 665. Theodectes ut sit iucunda addidit, alii μεγαλοπρέπειαν, alii ἐνάργειαν [1]), Theodorei solam verisimilitudinem retinuerunt, alii aliam probarunt rationem, vid. Quint. Hermog. de invent. II, 7. Longinus ap. Apsinem IX, 556. VII, 26. Apsines IX, 494—502, conf. Vossii instit. orat. III, 3.

Praeceptum ut narratio sit brevis, oratores observant et haud raro ipsi indicant. Lysias XII, 3 ὅμως δὲ πειράσομαι ὑμᾶς ἐξ ἀρχῆς ὡς ἂν δύνωμαι δι' ἐλαχίστων διδάξαι. XVI, 9 ποιήσομαι δὲ τὴν ἀπολογίαν ὡς ἂν δύνωμαι διὰ βραχυτάτων. Isaeus VII, 4. Isocrat. Areopag. §. 19 ἐγὼ δ' ὡς ἂν δύνωμαι συντομώτατα περὶ ἀμφοτέρων τούτων πειράσομαι διελθεῖν πρὸς ὑμᾶς. scil. §. 20—36. idem Archidam. exposita narratione §. 17—23 haec addit §. 24 ἀκριβῶς μὲν οὐ διῆλθον· ὁ γὰρ παρὼν καιρὸς οὐκ ἐᾷ μυθολογεῖν, ἀλλ' ἀναγκαῖον ἦν συντομώτερον ἢ σαφέστερον διαλεχθῆναι περὶ αὐτῶν. non brevis est de bigis §. 4, Trapezit. §. 3—24, brevissima vero Antiph. VI, 11—15. in Olympiodorum §. 4 p. 1168 ἔστι δὲ βραχὺς ὁ λόγος, at est longa narratio §. 5—32. διὰ βραχυτάτων adv. Conon. §. 2 p. 1257. 814 §. 3. 945 §. 3. 968. 1102. ἐν βραχέσι in

---

[1]) de elocutione haec intelligenda sunt, non de narratione: illius enim quatuor esse virtutes tradunt Rhet. gr. VI, 36 ἑλληνισμός, σαφήνεια, συντομία, πιθανότης. item VI, 587 ubi μεγαλοπρέπεια, non ἑλληνισμὸς dicitur.

Timocr. §. 10. *ἐν βραχυτάτοις* p. 1009. conf. in Midiam §. 77. *τάχιστα* Isaeus I, 8. excusatur longitudo narrationis adv. Polyclem p. 1206.

Porro dilucidae orationis exemplum ab ipso oratore indicatum Isaei X, 3 *ὅθεν οὖν σαφέστατα μαθήσεσθε ὡς ἔχει ταῦτα, ἐντεῦθεν ὑμᾶς πρῶτον πειράσομαι διδάσκειν.* eadem verba, sed *ῥᾷστα*, non *σαφέστατα* Demosth. in Aphob. p. 814. Lysias XIII, 4. Demosth. p. 1051 in Macart. *πειράσομαι δὲ κἀγὼ διδάσκειν ὑμᾶς ὡς ἂν οἷός τε ὦ σαφέστατα περὶ τῶν πεπραγμένων.*

v. 14. *σαφῶς μὲν οὖν δηλώσομεν*] aut. ad Herenn. I, 15 *rem dilucide narrabimus, si ut quidque primum gestum erit, ita primum exponemus, et rerum ac temporum ordinem conservabimus, ut gestae res erunt aut ut potuisse geri videbuntur. hic erit considerandum, ne quid perturbate, ne quid contorte, ne quid ambigue, ne quid nove dicamus, ne quam in aliam rem transeamus, ne ab ultimo repetamus, ne longe persequamur, ne quid quod ad rem pertineat praetereamus, et si sequemur ea quae de brevitate praecepta sunt.* Elocutionem quam Anaximenes paucis indicat, aut. ad Herenn. omittit, Cicero Rhet. I, 20 addidit *ac verbis quoque dilucidis utendum est, quo de genere dicendum est in praeceptis elocutionis.* Quintil. IV, 2, 36—9. optime incertus rhetor qui Alexandrum Numenii filium sequitur, nuper inventus, l. l. *ἐπειδὴ δὲ περὶ σαφηνείας πρόκειται λέγειν, ῥητέον περὶ ἀσαφείας· δυνησόμεθα γὰρ τοὺς ἐκείνης φυγόντες τόπους σαφῆ ποιῆσαι τὸν λόγον. ἀσάφεια τοίνυν ὡς μὲν καθόλου διχῶς γίνεται· ἢ γὰρ ἐν λέξεσίν ἐστι τὸ ἀμφισβητούμενον σαφὲς ἢ ἐν πράγμασιν· ὡς δὲ κατὰ μέρος πολλαχῶς. τὸ μὲν οὖν ἐκ πραγμάτων ἀσαφὲς οὕτως γίνεται, πρῶτον μὲν ὅταν τὰ λεγόμενα τὴν κοινὴν ἐκφύγῃ γνῶσιν οἷα τὰ ἐν τῇ διαλεκτικῇ καὶ τὰ ἐν γεωμετρίᾳ, δεύτερον ὅταν συγχέωμεν τὴν τάξιν τῶν γεγονότων, ὡς τὰ μὲν πρῶτα τελευταῖα*

εἶναι, τὰ δὲ τελευταῖα προτετάχθαι· οἰκονομίας δὲ τὰ τοιαῦτα πολλάκις ἐπέχει χρείαν, δυσπαρακολούθητον δὲ ὅμως καὶ ἀσαφῆ τὸν λόγον ποιεῖ. ποιεῖ δὲ ἀσαφῆ τὸν λόγον καὶ τὸ τῶν αὐτῶν πολλάκις μεμνῆσθαι· μακρὸν γὰρ τοῦτο καὶ ὀχληρόν, εἰ μὴ ἄρα ταῖς ἐργασίαις αὐτὸ διαχειρισόμεθα καὶ νῦν μὲν ὡς γιγνώσκοντες λέγομεν, αὖθις δὲ ὡς συγκεφαλαιούμενοι, ἑτέρωθι δὲ ὡς ἀναμιμνήσκοντες· τὸ γὰρ ὀχληρὸν οὕτως ἐκφεύξει. τρίτον ὅταν παραλείψωμέν τινα τῶν πραγμάτων· τέταρτον ὅταν ἐπεισάγωμεν ἔξωθεν μακρὰ καὶ ἀπηρτημένα τοῦ πράγματος. Τὸ δ' ἐκ τῶν λέξεων ἀσαφὲς οὕτως, ὅταν ξένοις καὶ τροπικοῖς καὶ ἀμφιβόλοις καὶ γλωσσηματικοῖς ὀνόμασί τις χρῷτο καὶ τῇ συνθέσει μὴ ἁπλῇ καὶ κατὰ φύσιν, ἀλλὰ δι' ὑπερβατῶν καὶ μήκους περιόδων καὶ ἀλληγορίας. ποιεῖ δὲ καὶ ὀνοματοποιία ἀσάφειαν, ὡς τὸ σῖζεν ὀφθαλμὸς παρ' Ὁμήρῳ, καὶ ἡ (μὴ) διάρθρωσις οἷον Ἀλέξανδρος ὁ Πάρις, Ἀλέξανδρος ὁ Φιλίππου. Ποιήσεις δὲ ἀσάφειαν καὶ ἐὰν τὰς ἀκολουθίας διακωλύσῃς εὐλόγοις διηγήμασι, καὶ τὰ μὲν ὑπερβαίνῃς τὰ δὲ παρὰ τάξιν τιθῇς· οὕτως αὐτά τις ποιήσει τὸν δικαστὴν ἀπατῆσαι βουλόμενος τῇ ἀκολουθίᾳ.

v. 19. *καὶ ἐὰν μὴ προαπολιπόντες τὴν τάξιν . . . δι' ἑτέρων ἐξαγγείλωμεν*] corrupta ex codicibus restituimus *πρᾶξιν . . . πάλιν ἑτέραν*, at Victorius ex codice altero suo pro *πάλιν* affert *πρᾶξιν*, et sane cap. 38 de eadem re idem repetitum vocabulum, *καθαρῶς δὲ ἂν μὴ ταχὺ τῆς πράξεως παυόμενος ἄλλα πράγματα μεταχειρίζῃ πρὶν ταύτην ἐπιτελέσαι.* sed huic egregiae lectioni nullus e nostris addicit codicibus.

v. 22. *τοῖς οἰκείοις τῶν πραγμάτων ὀνόμασι*] conf. ad cap. 11.

p. 61 v. 1. *συντόμως δὲ*] pluribus hoc exponit aut. ad Herenn. l. c. *rem breviter narrare poterimus, si inde incipiemus, unde necesse erit, et si non ab ultimo initio repetere*

volemus, et si summatim non particulatim narrabimus, et si non ad extremum sed usque eo quo opus erit persequemur, et si transitionibus nullis utemur, et si non deerrabimus ab eo quod coeperimus exponere, et si exitus rerum ita ponemus, ut ante quae facta sint sciri possint, tametsi nos reticuerimus... et omnino non modo id quod obest, sed etiam id quod neque obest neque adiuvat, satius est praeterire, et ne bis aut saepius idem dicamus. Cicero l. c. Quintil. l. c. §. 40—51. incertus Rhetor l. l. qui dicit *τῆς συντομίας τοίνυν ἡ μὲν ἐν τοῖς πράγμασιν, ἡ δ' ἐν ταῖς λέξεσιν* et utramque p. 191 seq. explanat.

Aristoteles Rhet. III, 16 hoc praeceptum vituperans: *νῦν δὲ γελοίως τὴν διήγησίν φασι δεῖν εἶναι ταχεῖαν*, id de iudiciali oratione intelligit (praecedit enim ibi lacuna), noster vero haec tria in deliberativa observanda esse dicit, de qua Aristoteles ibidem *ἐν δὲ δημηγορίᾳ ἥκιστα διήγησίς ἐστιν, ὅτι περὶ μελλόντων οὐδεὶς διηγεῖται, ἀλλ' ἐάν περ ᾖ, τῶν γενομένων ἔσται, ἵν' ἀναμνησθέντες ἐκείνων βέλτιον βουλεύσωνται περὶ τῶν ὕστερον, ἀλλὰ τότε οὐ τὸ τοῦ συμβούλου ποιεῖ ἔργον.* et verum est quod philosophus dicit; nunquam igitur ipse, si autor esset huius libri, hoc loco illa doceret, ut non modo res, sed etiam rei positio ab Aristotelis sententia abhorreat. Anaximenes vero cap. 36 in genere iudiciali haec narrationis praecepta prorsus negligit; aut igitur huic generi non convenire censuit, aut ibi exciderunt, aut in utroque genere eadem esse iudicans infra non commemoravit; et primum prorsus ineptum, secundi nullum invenio vestigium, unde sequitur ut tertium probem.

v. 5. *οὐκ ἀπίστως δὲ*] aut. ad Herenn. l. c. *verisimilis narratio erit, si ut mos ut opinio ut natura postulat, dicemus, si spatia temporum, personarum dignitates, consiliorum rationes, locorum opportunitates constabunt, ne referri possit aut temporis parum fuisse, aut causam nullam, aut locum idoneum*

non fuisse, aut homines ipsos facere aut pati non potuisse. Si vera res erit, nihilo minus haec omnia narrando conservanda sunt; nam saepe veritas, nisi haec servata sint, fidem facere non potest. Sin erit ficta, eo magis erunt observanda. de iis rebus caute confingendum est, quibus in rebus tabulae aut alicuius firma auctoritas videbitur interfuisse. Cicero l. c. Quintil. l. c. §. 52—60. incertus rhetor p. 193 seq. ex Alexandro, unde haec depromere licet: *πιθανὴ δὲ διήγησις γίνεται, εἰ πάντα ὅσα λέγει τις ἐξομοιοῦν πειρῷτο τοῖς ἀληθέσι· τοῦτο δέ φησι γένοιτο (ἄν), ἐὰν μὴ ψιλὰ τὰ πράγματα τιθῶμεν, ἀλλὰ καὶ τὰ μόρια αὐτὰ (αὐτῶν?) προσλαμβάνωμεν ἐξ ὧν ἡ διήγησις πληροῦται... πρὸς τούτοις, εἰ ἀλλήλοις ὁμολογεῖ τὰ λεγόμενα καὶ μὴ διαφωνεῖ ἢ μάχεται... ἐφ' ἅπασι δὲ τούτοις αἰτίαν προσθετέον· ἐπακτικωτάτη γὰρ αὕτη πρὸς πειθώ. ποιεῖ δὲ πιθανότητα καὶ τὸ τοῦ λέγοντος ἦθος καὶ πάθος, καὶ τὸ μὲν ἦθος, φησίν, εἰ ἁπλαστον φαίνοιτο, τὸ δὲ πάθος οὐ μόνον πείθει, ἀλλὰ καὶ ἐξίστησι. ποιεῖ δὲ πιθανότητα καὶ περὶ αὐτοῦ μὲν κακόν τι εἰπεῖν μικρόν, περὶ δὲ τοῦ ἀντιδίκου ἀγαθὸν ὁμολογούμενον... συνεργεῖ δὲ πρὸς πειθὼ καὶ ἡ ἐνάργεια.*

v. 7. *ὅσα δ' ἂν λίαν ἄπιστα συμβαίνῃ, δεῖ παραλείπειν*] hoc praeceptum quod noster cum fide tradit, ceteri, nescio qua de causa, omittunt; vix enim ne improbi improba docentes viderentur, neglexerunt. oratores vero plerumque eo utuntur, quo fit, ut nobis, qui raro veram rei expositionem cognovimus, causas recte diiudicare et disceptare non liceat. Schol. in Hermog. V, 390. VII, 729 *ἰστέον δὲ ὅτι φανερῶν ὄντων τῶν πραγμάτων περιττὸν τὸ διηγεῖσθαι ὅπερ φασὶν ἐν δευτερολογίαις εὑρίσκεσθαι, ἢ ὅταν ἄδοξα τὰ πράγματα ᾖ.*

ἐὰν δὲ ἀναγκαῖον ᾖ λέγειν, εἰδότα δεῖ φαίνεσθαι, καὶ ἐπιπλέξαντα αὐτὰ τῷ τῆς παραλείψεως σχήματι ὑπερβάλλεσθαι καὶ προϊόντος τοῦ λόγου ἐπιδείξειν ἀληθῆ ὑπισχνεῖ-

σϑαι] haec ipsa de Demosthene Aeschines in Ctesiph. §. 205 pronunciat *ἐὰν δ' ὑμῶν δέηται συγχωρῆσαι αὐτῷ περὶ τῆς τάξεως τοῦ λόγου, κατεπαγγελλόμενος ὡς ἐπὶ τῇ τελευτῇ τῆς ἀπολογίας λύσει τὸ παράνομον, μὴ συγχωρεῖτε, μηδ' ἀγνοεῖϑ' ὅτι πάλαισμα τοῦτ' ἔστι δικαστηρίου· οὐ γὰρ εἰσαῦϑίς ποτε βούλεται πρὸς τὸ παράνομον ἀπολογεῖσϑαι, ἀλλ' οὐδὲν ἔχων δίκαιον εἰπεῖν ἑτέρων παρεμβολῇ πραγμάτων εἰς λήϑην ὑμᾶς βούλεται τῆς κατηγορίας ἐμβαλεῖν.* conf. similia quae de dispositione apud Demosth. Hermogenes de invent. III, 2 pag. 100 sibi invenisse videtur.

v. 10. *ἐπιδείξειν ἀληϑὲς*] scribendum *ἀληϑῆ*, praecedit enim *ὅσα δ' ἂν λίαν ἄπιστα συμβαίνῃ*, item *ἐπιπλέξαντα αὐτά*, unde multitudinis numerus reponendus erat.

CAPUT XXXI.

v. 17. *τάξομεν δὲ αὐτὰς διὰ τριῶν τρόπων*] dispositionem ceteris magis autor noster curat; illi enim pauca et ut ad temporis casum disponat praecipiunt. Rhet. gr. V, 390. VII, 730 *ἡ δὲ τάξις τῆς διηγήσεως οὐκ ἀεὶ μετὰ τὰ προοίμια, ἀλλ' ἔσϑ' ὅτε καὶ μετὰ τὰς πίστεις καὶ ἐν τοῖς ἐπιλόγοις, ὡς Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου καὶ Δημοσϑένης ἐν τῷ κατὰ Μειδίου.* nunc plura de hac re ex Alexandro ab incerto rhetore docemur in Notices tom. XIV, 196 seq. falluntur de Timarchea, cuius argumentum Aeschines in fine his verbis *ἐδίδαξα τοὺς νόμους, ἐξήτασα τὸν βίον τοῦ κρινομένου* repetit; exordium sequuntur leges §. 4—36, tum Timarchi vita exponitur, ita ut confirmatio (primum *ὅτι ἡταίρηκε* §. 40—93, deinde *ὅτι κατεδήδοκε καὶ τὰ πάτρια καὶ τὰ κοινὰ* §. 94—115) et confutatio §. 116—184 inveniatur et admonitio ad virtutem exercendam usque ad conclusionem addatur.

v. 20. *ὅταν δὲ λίαν ὦσιν αἱ πράξεις πολλαὶ καὶ μὴ*

γνώριμοι, παρ' ἕκαστον συναπτὰς ποιήσομεν] coniicias autorem dicere plures res gestas coniungendas atque confirmandas esse, ut v. c. Aeschines quatuor *καιροὺς* adversus Demosthenem, quibus omnes res ab eo gestas comprehendit, affert. cap. 32 de eadem re *ὅταν μὲν οὖν συναπτὰς ποιῇς*, et cap. 36 in iudiciali genere quae hic dixit paucis sic repetit *κατὰ τὸν αὐτὸν δὲ λόγον καὶ τὰς ἀπαγγελίας συνάψομεν τῷ προοιμίῳ καὶ ἢ περὶ τὰ μέρη πιστὰς καὶ δικαίας ἀποφανοῦμεν ἢ αὐτὰς ὑφ' αὑτῶν σωματοειδεῖς ποιησόμεθα*. ubi M *παρά*. haud dubie magis dilucidum foret, si scriptum esset *γνώριμοι, συναπτὰς ποιήσομεν καὶ παρ' ἕκαστον μέρος δικαίας*.

p. 62 v. 2. *ἐπὶ τῷ φροιμίῳ*] cap. 34 *φροιμιασάμενοι*. 35 *φροιμιαστέον*, idem cap. 37. ibidem *φροιμιασάμενοι*.

CAPUT XXXII.

v. 8. *ἔστι βεβαίωσις δι' ἧς*] sic recte M, nisi quod fortasse rectius *ἔσται*, ut in accusatoria specie cap. 36 *τὰ δὲ μετὰ ταῦτα ἔσται βεβαίωσις*.

In Areopagitico Isocrates qualis fuerit veteris democratiae status enarrat §. 20—35 et *πράξεις* dicit, quarum *αἰτίαι* i. e. confirmatio sequuntur §. 36—55.

v. 13. *καὶ τὰ ἐπενθυμήματα*] haud ignotum est rhetoribus *ἐπενθύμημα*, vid. Ernesti lex. techn. et Walzius in indice Rhet. gr. at autor noster non novit, hic ubique *ἐνθύμημα* solum agnoscit.

v. 14. *τάττειν δὲ αὐτὰς ὧδε δεῖ*] *ὧδε* raro quidem, sed tamen cap. 1 quater invenitur. codd. MV *ὡς*, unde *πῶς* coniicias, ut cap. 29 *τάξομεν δὲ πῶς; ἐὰν κτλ.* at ne ibi quidem probanda esse videtur interrogatio.

v. 19. *λαμβάνειν δὲ δεῖ τὰ παραδείγματα οἰκεῖα τῷ πράγματι καὶ τὰ ἐγγύτατα τοῖς ἀκούουσι χρόνῳ ἢ τόπῳ*] Demosth. Olynth. III, 23 p. 35 (item p. 172) veterum Athe-

niensium statum cum illo suae aetatis comparans, *καίτοι σκέψασθε ὦ ἄ. Ἀ. ἄ τις ἂν κεφάλαια εἰπεῖν ἔχοι τῶν τ' ἐπὶ τῶν προγόνων ἔργων καὶ τῶν ἐφ' ὑμῶν. ἔσται δὲ βραχὺς καὶ γνώριμος ὑμῖν ὁ λόγος· οὐ γὰρ ἀλλοτρίοις ὑμῖν χρωμένοις παραδείγμασιν ἀλλ' οἰκείοις ὦ ἄ. Ἀ. εὐδαίμοσιν ἔξεστι γενέσθαι.* §. 23—29. de fals. legat. §. 269 *ἔστι δ' ὑμῖν ὦ ἄ. Ἀ. περὶ τούτων μόνοις τῶν πάντων ἀνθρώπων οἰκείοις χρῆσθαι παραδείγμασι καὶ τοὺς προγόνους οὓς ἐπαινεῖτε δικαίως ἔργῳ μιμεῖσθαι.* Isocrates de Euagora §. 77 *τοὺς μὲν γὰρ ἄλλους προτρέπομεν ἐπὶ τὴν φιλοσοφίαν ἑτέρους ἐπαινοῦντες, ἵνα ζηλοῦντες τοὺς εὐλογουμένους τῶν αὐτῶν ἐκείνοις ἐπιτηδευμάτων ἐπιθυμῶσιν· ἐγὼ δὲ σὲ καὶ τοὺς σοὺς οὐκ ἀλλοτρίοις παραδείγμασι χρώμενος ἀλλ' οἰκείοις παρακαλῶ καὶ συμβουλεύω προσέχειν τὸν νοῦν, ὅπως καὶ λέγειν καὶ πράττειν μηδενὸς ἧττον δυνήσει τῶν Ἑλλήνων.* Philipp. §. 113 *τούτου δ' ἕνεκά σοι περὶ τούτων διῆλθον, ἵνα γνῷς ὅτι σε τυγχάνω τῷ λόγῳ παρακαλῶν ἐπὶ τοιαύτας πράξεις, ἃς ἐπὶ τῶν ἔργων οἱ πρόγονοί σου φαίνονται κάλλιστα προκρίναντες. ἅπαντας μὲν οὖν χρὴ τοὺς νοῦν ἔχοντας τὸν κράτιστον ὑποστησαμένους πειρᾶσθαι γίγνεσθαι τοιούτους, μάλιστα δὲ σοὶ προσήκει. τὸ γὰρ μὴ δεῖν ἀλλοτρίοις χρῆσθαι παραδείγμασιν ἀλλ' οἰκεῖον ὑπάρχειν, πῶς οὐκ εἰκὸς ὑπ' αὐτοῦ σε παροξύνεσθαι καὶ φιλονικεῖν ὅπως τῷ προγόνῳ σαυτὸν ὅμοιον παρασκευάσεις;* e maioribus proximum patrem, ultimum Herculem §. 105—12 contulit, *ἐνθύμημα* addidit §. 115. Pseudodemosth. in Erotico §. 44—6 quantum philosophiae et rhetorices studium provehat, Periclis et Alcibiadis, tum vero his praemissis *εἰ δὲ δεῖ μὴ παλαιὰ λέγοντας διατρίβειν ἔχοντας ὑπογυιοτέροις παραδείγμασι χρῆσθαι* Timothei et Archytae exemplis illustrat.

p. 63 v. 14. *ἐπὶ τελευτῆς αὐτοῦ*] scil. *τοῦ δικαίου* quod

nunc explanat. *αὐτοῖς* in C correctio esse videtur eius qui *αὐτοῦ* non intellexit. statim sequitur *ἐπὶ τῇ τελευτῇ τοῦ μέρους*, h. e. *τοῦ συμφέροντος*. cap. 36 recurrit *πάλιν ἐπὶ τελευτῆς διέξιμεν*. dativum legimus omisso articulo 33, addito infra 32; ceteris in locis CFM *τῇ* inserunt, c. 22. 34. ter 35. 37. et sic alii ut Aeschin. in Ctesiph. §. 205.

p. 64 v. 10. *τὴν προκατάληψιν*] vid. ad cap. 18. confutationem Aeschines in Timarch. §. 117 dicit *προδιήγησιν τῆς ἀπολογίας ἧς ἀκούω μέλλειν γίνεσθαι*.

CAPUT XXXIII.

v. 12. *διασύρεις*] Lysias XXVI, 3 de adversario *ἐπισύροντα τὰ πράγματα*, Isocrat. XX, 5 *διασύρων τὴν κατηγορίαν*.

v. 20. *παλιλλογήσομεν τὰ προειρημένα σχήματα διαλογισμοῦ λαβόντες*] cap. 35 *παλιλλογήσαντες συντόμως τὰ προειρημένα*, ibidem *παλιλλογήσαντες ἐν κεφαλαίῳ τὰ προειρημένα*, eadem structura etiam huic loco adhibenda est, unde iam ne ambigua fiat oratio *σχῆμα* scribendum est, neque omnia, sed unum schema admittimus.

CAPUT XXXIV.

v. 24. *προϋπάρχει*] id si est, ex praeterito tantum tempore suadet, at non modo ex hoc, sed etiam ex futuro praecipit autor; Corcyraei v. c. ap. Thuc. non habent gratiam Atheniensibus relatam qua eos ut in societatem recipiantur moveant, at ex futuro, se gratissimos hoc beneficio fore, suadere conantur cap. 33 *ἔπειτα περὶ τῶν μεγίστων κινδυνεύοντας δεξάμενοι ὡς ἂν μάλιστα μετ' ἀειμνήστου μαρτυρίου τὴν χάριν καταθεῖσθε*. Unde non *προϋπάρχει*, sed *προσυπάρχει* vel potius *ὑπάρχει* reddendum est; ut infra *ἐν μὲν ταῖς προτροπαῖς ἀποφαίνειν φιλίαν ὑπάρχειν οἷς βοηθεῖν προτρέπομεν πρὸς τοὺς προτρεπο-*

μένους. ceterum his praeceptis epilogum vel conclusionem indicat. Paucissimis absolvitur narratio in Isocr. Plataico §. 7.

v. 25. *φιλία ἢ χάρις ἢ ἔλεος*] conf. Arist. Rhet. II, 4. 7. 8. et ut ibi subtile et uberrimum dialectici, ita hic sterile et vulgare rhetoris ingenium agnosces.

Corinthii ap. Thucyd. praeter *δικαιώματα* I, 41 etiam *ἀξίωσιν χάριτος* afferunt, item Thebani III, 67. Isocr. Plataicus. sunt et alii loci quos oratores in auxilium vocant, ut *τὸ μὴ μνησικακεῖν* Demosth. de Rhod. lib. §. 14.

v. 26. *μάλιστα γὰρ τοῖς οὕτω διακειμένοις ἐθέλουσιν ἐπαμύνειν*] at non iis qui exercent *χάριν ἔλεον* opitulantur; haec enim de iis praedicantur qui auxilium ferunt, ut expositio docet et oppositio quae infra sequitur, *ὀργὴ φθόνος ἔχθρα*. necessario igitur *οἱ οὕτω διακείμενοι* corrigendum esse coniicias. tamen hoc non admittunt verba initii *πρὸς τοὺς ἐκκλησιάζοντας*, utrumque nempe coniungit autor et modo eos quibus orator suadet, modo eos de quibus suadet, intelligit.

p. 65 v. 1. *πάντες ὑφ' ὧν*] infra *χάριν δ' ἔχουσι τούτοις ὑφ' ὧν οἴονται*, et *πάντες ἐλεοῦσι τούτους οὓς ... οἴονται*, unde et hic *πάντες τούτους ὑφ'* coniicias.

v. 3. *τυγχάνουσιν*] quae in B et mg. A leguntur, dedit is qui codice usus est qualis est EG, i. e. in quo desideratur *χάριτος* expositio; quam cum iure requireret, de suo, neque enim difficile erat ex iis quae praecedunt explere, addidit, sed dicendi genus parum observavit; lacuna *ὁμοιοτελεύτῳ* nata, quod *τυγχάνουσιν* repetitur, melius erat restituenda, neque dubito, quin quae nunc leguntur, ex integriore libro sint reposita.

v. 8. *εὐπορήσομεν δὲ ἐλεεινὰ ποιεῖν*] autor ad Herennium II, 31. Rhet. gr. Hermog. III p. 25, schol. IV, 412—29. II, 124. III, 460. Apsines IX, 550.

v. 11. *δεῖ δὴ ταῦτα ἀποφαίνειν*] vid. Plataeenses ap.

Thucyd. III, 58 seq. quorum *ἔλεον* diluunt Thebani cap. 67. adde Isocratis Plataicum, inprimis §. 46—50 quibus se omnium infelicissimos omnibusque rebus privatos esse demonstrant.

v. 19. *τὰς δὲ ἀποτροπὰς ἐκ τῶν ἐναντίων τούτοις ποιήσομεν*] exempla Thucydides multa praestat, ut Hermocratis orationem VI, 76—80. In hunc censum venit etiam Lysiae et Socratis oratio in Platonis Phaedro, qua *τὸν μὴ ἐρῶντα* praeferendum esse puero *τῷ ἐρῶντι* suadent; et Lysias quidem nullo vinculo singula argumenta enumerat, Socrates vero ex rhetoricae praeceptis amore definito amantem *βλαβερὸν* et animo et corpori et externis bonis, deinde *ἀηδῆ*, postremo *ἄπιστον* esse probat; quo facto egregia sequitur *παλιλλογία*, ita ut ab ultimo incipiat, his verbis pag. 241 St. 30 Bekk. *εἰ δὲ μή, ἀναγκαῖον εἴη ἐνδοῦναι ἑαυτὸν ἀπίστῳ, [δυσκόλῳ, φθονερῷ] ἀηδεῖ, βλαβερῷ μὲν πρὸς οὐσίαν, βλαβερῷ δὲ πρὸς τὴν τοῦ σώματος ἕξιν, πολὺ δὲ βλαβερωτάτῳ πρὸς τὴν τῆς ψυχῆς παίδευσιν.* Haec ut omnibus vocabula *δυσκόλῳ, φθονερῷ*, qui nulli sunt orationis loci, male inserta esse constaret, attulimus.

p. 66 v. 16. *ἐκ τοῦ παραλελειμμένου τρόπου ἀπότρεπε*] hoc est, quos locos adversarius omisit aut neglexit, excolas in iisque multum versare; intelligit autem *τελικὰ κεφάλαια*, de quibus vid. ad cap. 1. offendit *τρόπου* quod facile ex praecedentibus addi poterat, neque *τόπου* scripserim, ut sit *ὁ τόπος ὁ τοῦ παραλελειμμένου*, quemadmodum legitur cap. 36 *ἐπὶ τὸν ἐκ τοῦ παραλειπομένου τόπον μεταβιβάζων*, ibi enim *σχῆμα παραλείψεως* intelligitur, quod ab hoc longe distat.

v. 17. *ἐὰν ὁ ἐναντίος δίκαιον ἀποφήνῃ, σὺ ἐπιχείρει δεικνύναι ὡς ἐστιν αἰσχρὸν ἢ ἀσύμφορον ἢ ἐργώδες ἢ ἀδύνατον ἢ ὅ τι ἂν ἔχῃς τοιοῦτον· ἐὰν δὲ ἐκεῖνος ἔχῃ τὸ συμφέρον, σὺ ἐπιδείκνυε ὡς ἄδικον κἄν τι ἄλλο ἔχῃς*

πρὸς τούτῳ] hic fons, haec ars oratorum veterum quae admirabilem illorum dicendi copiam parit; id optime ex Thucydidis orationibus in hunc modum compositis disces; Corcyraei v. c. I, 32—6 *τὸ συμφέρον* prae se ferunt, non omisso quidem *τοῦ δικαίου* loco, sed apprime elevato, contra Corinthii c. 37—43 *τὸ δίκαιον* urgent Atheniensesque ne *τὸ συμφέρον* praeferant adhortantur. adde Cleonem et Diodotum, Melios et Athenienses, Plataeenses et Thebanos aliosque, conf. ad cap. 1. Demosth. in Aristocrat. §. 100 p. 653 *ὡς μὲν τοίνυν οὐ παρὰ πάντας τοὺς νόμους φανερῶς γέγραφε τὸ ψήφισμα Ἀριστοκράτης, οὐκ οἶομαι λέγειν αὐτὸν ἔξειν· ἤδη δέ τινα εἶδον ὦ ἄ. Ἀ. γραφὴν ἀγωνιζόμενον παρανόμων τοῖς νόμοις μὲν ἁλισκόμενον, ὡς δὲ συμφέρονθ' ὑμῖν γέγραφε λέγειν ἐπιχειροῦντα καὶ ταύτῃ βιαζόμενον, εὐήθη μὲν οἶμαι, μᾶλλον δ' ἀναιδῆ λόγον. εἰ γὰρ καὶ κατὰ τἆλλα πάντα συμφέρει τὰ εἰρημένα, ἥ γε ὀμωμοκότας κατὰ τοὺς νόμους δικάσειν ὑμᾶς ἀξιοῖ κυροῦν ἃ μηδ' αὐτὸς ἔχει δικαίως δεῖξαι γεγραμμένα, ἀσύμφορον ἂν εἴη, εἴ περ τὸ εὐορκεῖν περὶ πλείστου πᾶσίν ἐστι ποιητέον, οὐ μὴν ἀλλ' ἔχει τινὰ ὅμως ἡ ἀναίδεια αὕτη λόγον.*

v. 26. *ἀποφαίνειν ἢ φιλίαν ὑπάρχειν . . . καὶ ὀφείλοντας χάριν ἔχειν τοῖς δεομένοις*] mira coniunctio infinitivi et participii. scrib. *ὑπάρχουσαν*, vid. supra ad cap. 3. libros meliores secuti locum restituimus, sed desideratur *ἐλέου* notio quam excidisse puto.

p. 67 v. 3. *ἢ ὀργῆς ἢ φθόνου ἢ ἔχθρας ἀξίους*] conf. Arist. Rhet. II, 2. 10 et quae autor ad Herennium I, 8 aliique qui hunc sequuntur in exordio exponunt, *odium, invidia, contemtio.* Haec non eo quo proposita sunt ordine exponuntur. fortasse *φθόνου ἢ ὀργῆς*, ut deinde inverso ordine explicet. Iam Isocrates Antid. §. 31 adversarii morem *εἰς φθόνον, ὀργήν, μῖσος καταστῆσαι* notat, addens

ἅ περ ὅταν πάϑωσιν οἱ κρίνοντες, χαλεπώτατοι τοῖς ἀγωνιζομένοις εἰσίν. Demosth. in Midiam §. 196.

v. 6. *ἢ τῶν φίλων*] longius distat *ὑπ' ἐκείνων* quam ut apte *ὑπὸ* intelligas; excidisse videntur verba *ἢ ὑπ' αὐτῶν*, ut in seqq. aperte reponendum est *ἠδικημένους ἢ ὑπ' αὐτῶν ἢ τῶν φίλων ἢ*, ubi et *ἐκείνων* vel ut alii scribunt *ἐκείνοις*, et *αὐτοὶ* in fine positum praeter morem autoris est. ibi H. Sauppius epist. cr. p. 150 coniecit *ἢ ὑπ' ἐκείνων ἢ τῶν φίλων τῶν ἐκείνων* quod non probamus.

v. 11. *εὖ πεπραχότας*] mirum nullum librum *πεπραγότας* exhibere, at transitivo sensu cap. 35 *ἴσα πεπραγότας*, ubi unus G prima manu *χ* habuit.

ἀπείρως ἔχοντα τοῦ λέγειν, συνήγορόν με κελεῦσαι καλέσαι τῷ ἀγῶνι τούτῳ Ἀπολλόδωρον. καὶ γὰρ πρεσβύτερός ἐστιν ἢ ἐγὼ καὶ ἐμπειροτέρως ἔχει τῶν νόμων καὶ ἠδίκηται ὑπὸ Στεφάνου τουτουὶ καὶ μεμέληκεν αὐτῷ περὶ τούτων ἀκριβῶς ὥστε καὶ ἀνεπίφθονον αὐτῷ τιμωρεῖσθαι τὸν ὑπάρξαντα. at aliud erat argumentum satis grave, ne iuvenis incorruptus aliorum turpissimos mores et amores exponens se indigna loqueretur. Demosth. κατὰ Ἀφόβου §. 2. adv. Leochar. §. 1.

v. 5. μέγεθος ἀδικημάτων] hoc Lysias in Alcibiadem XIV, 1 profert, quamvis an is qui accuset νεώτερος sit et διαβεβλημένος nesciamus, sed oratores libenter his si praesto sunt utuntur: ἡγοῦμαι μὲν ὦ ἄ. δ. οὐδεμίαν ὑμᾶς ποθεῖν ἀκοῦσαι πρόφασιν παρὰ τῶν βουλομένων Ἀλκιβιάδου κατηγορεῖν· τοιοῦτον γὰρ πολίτην ἑαυτὸν ἐξ ἀρχῆς παρέσχεν, ὥστε καὶ εἰ μή τις ἰδίᾳ ἀδικούμενος ὑπ' αὐτοῦ τυγχάνει, οὐδὲν ἧττον προσήκει ἐκ τῶν ἄλλων ἐπιτηδευμάτων ἐχθρὸν αὐτὸν ἡγεῖσθαι. οὐ γὰρ μικρὰ τὰ ἁμαρτήματα οὐδὲ συγγνώμης ἄξια οὐδ' ἐλπίδα παρέχοντα, ὡς ἔσται τοῦ λοιποῦ βελτίων, ἀλλ' οὕτω πεπραγμένα καὶ εἰς τοσοῦτον κακίας ἀφιγμένα, ὥστ' ἐπ' ἐνίοις ὧν οὗτος φιλοτιμεῖται τοὺς ἐχθροὺς αἰσχύνεσθαι. XII, 1—3. Demosth. in Timocrat. §. 6—10 quae sic incipit: ἵνα δ' ὑμῶν μηδεὶς θαυμάζῃ, τί δήποτ' ἐγὼ μετρίως, ὥς γ' ἐμαυτὸν πείθω, τὸν ἄλλον χρόνον βεβιωκὼς νῦν ἐν ἀγῶσι καὶ γραφαῖς δημοσίαις ἐξετάζομαι, βούλομαι μικρὰ πρὸς ὑμᾶς εἰπεῖν· ἔσται δὲ ταῦτ' οὐκ ἀπὸ τοῦ πράγματος.

ἢ πλῆθος] arcte cohaerent cum μέγεθος ἀδικημάτων male mediis inlatis ἢ προθεσμίαν χρόνου divulsa.

conf. Lysias XXXI, 2 ποιήσομαι κατηγορίαν, οὐ μέντοι γε ἰδίαν ἔχθραν οὐδεμίαν μεταπορευόμενος . . . ἀλλὰ τῷ πλήθει τῶν ἁμαρτημάτων αὐτοῦ πιστεύων.

v. 6. ἐὰν δὲ ὑπὲρ ἄλλου λέγῃς, ῥητέον ὡς διὰ φιλίαν

συνηγορεῖς ἢ δι' ἔχθραν τοῦ ἀντιδίκου] Incertus rhetor in Notices et Extraits tom. XIV, 189 *ἐὰν δὲ τῷ λέγειν ὑπὲρ ἑτέρου διαβληθῇς, λέγε ἢ ὅτι φίλος ἢ ὅτι ἐπιεικὴς ἢ ὅτι ἰδιώτης ἢ ὅτι ἐλεεινὸς ἢ ὅτι σοὶ κἀκείνῳ κοινὸς ὁ ἀγών, ἢ ὅτι συμφέρει τῇ πόλει, ἢ καὶ νὴ Δία τὰ πλείονα τούτων ἅμα.* Lysias XV, 12 fine orationis *ἐγὼ μὲν οὖν καὶ φίλῳ ὄντι Ἀρχεστρατίδῃ βοηθῶν, καὶ Ἀλκιβιάδην ἐχθρὸν ὄντα ἐμαυτοῦ τιμωρούμενος δέομαι τὰ δίκαια ψηφίσασθαι.* Isocrat. in Euthynum *οὐ προφάσεως ἀπορῶ δι' ἥντινα λέγω ὑπὲρ Νικίου τουτουί· καὶ γὰρ φίλος ὢν μοι τυγχάνει καὶ δεόμενος καὶ ἀδικούμενος καὶ ἀδύνατος εἰπεῖν, ὥστε διὰ ταῦτα πάντα ὑπὲρ αὐτοῦ λέγειν ἀναγκάζομαι.* ubi ex artis praeceptis plura congesta vides; vid. Apsin. IX, 482. Isaeus IV, 1 *ἐπιτήδειοί μοι τυγχάνουσιν ὦ ἄνδρες ὄντες Ἄγνων τε οὑτοσὶ καὶ Ἀγνόθεος καὶ ὁ πατὴρ αὐτῶν ἔτι πρότερον. εἰκὸς οὖν μοι δοκεῖ εἶναι, ὡς ἂν οἷός τ' ὦ συνειπεῖν αὐτοῖς.* VI, 1—2 ubi ideo additum *δέομαι οὖν ὑμῶν συγγνώμην ἔχειν.* fragm. 2 *ἐγὼ καὶ πρότερον Εὐμάθει τούτῳ ἐγενόμην χρήσιμος, καὶ δικαίως καὶ νῦν, εἴ τί ἐστιν ἐν ἐμοί, πειράσομαι συσσώζειν αὐτὸν μεθ' ὑμῶν.* Demosth. *παραπρ.* §. 238 *βιάσονται τοίνυν ἴσως μεγαλόφωνοι καὶ ἀναιδεῖς ὄντες καὶ τὸ συγγνώμη ἀδελφῷ βοηθεῖν προσειληφότες.* Lysias V, 1 *εἰ μὲν περὶ ἄλλου τινὸς ἢ περὶ τοῦ σώματος ὦ ἄ. δ. Καλλίας ἠγωνίζετο, ἐξήρκει ἄν μοι καὶ τὰ παρὰ τῶν ἄλλων εἰρημένα· νῦν δέ μοι δοκεῖ αἰσχρὸν εἶναι κελεύοντος καὶ δεομένου καὶ φίλου ὄντος καὶ ἐμοὶ καὶ ἕως ἔζη τῷ πατρὶ, καὶ πολλῶν συμβολαίων ἡμῖν πρὸς ἀλλήλους γεγενημένων, μὴ βοηθῆσαι Καλλίᾳ τὰ δίκαια ὅπως ἂν δύνωμαι.* Demosth. pro Phormione p. 944 *τὴν μὲν ἀπειρίαν τοῦ λέγειν καὶ ὡς ἀδυνάτως ἔχει Φορμίων, αὐτοὶ πάντες ὁρᾶτε, ὦ ἄ. Ἀ., ἀνάγκη δ' ἐστὶ τοῖς ἐπιτηδείοις ἡμῖν ἃ σύνισμεν λέγειν καὶ διδάσκειν ὑμᾶς, ἵν' εἰδότες καὶ μεμαθηκότες*

ὀρθῶς τὰ δίκαια παρ' ἡμῶν, ἃ ἂν ᾖ δίκαια καὶ εὔορκα, ταῦτα ψηφίσησθε.

v. 7. *ἢ διὰ τὸ τοῖς πράγμασι παραγενέσθαι*] huius rei exemplum in graecis legi oratoribus non memini, Ciceronis est pro Sulla cap. 4.

v. 10. *ἐὰν δὲ ὁμολογούμενος τῷ ἐγκλήματι ἢ ὑπεναντίος τῇ κατηγορίᾳ γένηται*] vid. quae supra de his dicta sunt, nam et Plato et Aristoteles longius hanc rem exponunt.

Offendit omissum *τις*, et verbum quod infinitivus requirit, adde secundam personam praecedere *λέγῃς*, unde *γένῃ*, *δεῖ* reddendum esse probabilitate non caret.

v. 15. *τὰς δὲ περὶ τὸ πρᾶγμα οὕτως ἀπωσόμεθα, τὴν αἰτίαν εἰς τὸν ἐναντίον τρέποντες ἢ λοιδορίαν ἐγκαλοῦντες αὐτῷ ἢ ἀδικίαν ἢ πλεονεξίαν ἢ φιλονεικίαν ἢ ὀργὴν προφασιζόμενοι, ὅτι τοῦ δικαίου δι' ἄλλου τρόπου τυχεῖν ἀδύνατον*] Lysias cur familiares accusent excusans XXXII, 1 *εἰ μὲν μὴ μεγάλα ἦν ὦ ἄνδρες δικασταὶ τὰ διαφέροντα, οὐκ ἄν ποτε εἰς ὑμᾶς εἰσελθεῖν τούτους εἴασα, νομίζων αἴσχιστον εἶναι πρὸς τοὺς οἰκείους διαφέρεσθαι, εἰδώς τε ὅτι οὐ μόνον οἱ ἀδικοῦντες χείρους ὑμῖν εἶναι δοκοῦσιν, ἀλλὰ καὶ οἵ τινες ἂν ἔλαττον ὑπὸ τῶν προσηκόντων ἔχοντες ἀνέχεσθαι μὴ δύνωνται· ἐπειδὴ μέντοι ὦ ἄ. δ. πολλῶν χρημάτων ἀπεστέρηνται καὶ πολλὰ καὶ δεινὰ πεπονθότες ὑφ' ὧν ἥκιστα ἐχρῆν ἐπ' ἐμὲ κηδεστὴν ὄντα κατέφυγον, ἀνάγκη μοι γεγένηται εἰπεῖν ὑπὲρ αὐτῶν.* et Dionysius quidem Halic. de Lys. cap. 24, qui huius orationis fragmentum nobis servavit, ex aliis plenioribus artibus quae maxime huc pertinent de hac re tradit: *τοῦτο τὸ προοίμιον ἁπάσας ἔχει τὰς ἀρετὰς ὅσας δεῖ τὸ προοίμιον ἔχειν. δηλώσουσι δὲ οἱ κανόνες αὐτῷ παρατεθέντες οἱ τῶν τεχνῶν. ἅπαντες γὰρ δή που παραγγέλλουσιν οἱ συνταξάμενοι τὰς τέχνας, ὅταν ᾖ πρὸς οἰκείους ὁ ἀγών, σκοπεῖν ὅπως μὴ πονη-*

ροὶ μηδὲ φιλοπράγμονες οἱ κατήγοροι φανήσονται, κελεύουσί τε πρῶτον τὴν αἰτίαν εἰς τοὺς ἀντιδίκους περιιστάναι καὶ τοῦ ἐγκλήματος καὶ τοῦ ἀγῶνος, καὶ λέγειν ὅτι μεγάλα τἀδικήματα καὶ οὐκ ἐνῆν αὐτὰ μετρίως ἐνεγκεῖν, καὶ ὅτι ὑπὲρ ἀναγκαιοτέρων προσώπων ὁ ἀγὼν καὶ ἐρήμων καὶ ἧττον ὑπεροφθῆναι ἀξίων, οἷς μὴ βοηθοῦντες κακίους ἂν ἐφάνησαν, καὶ ὅτι προκαλούμενοι τοὺς ἀντιδίκους εἰς διαλλαγὰς καὶ φίλοις τὰ πράγματα ἐπιτρέποντες καὶ τὰ δυνατὰ ἐλαττοῦσθαι ὑπομένοντες οὐδενὸς ἠδυνήθησαν τυχεῖν τῶν μετρίων. ταῦτα μὲν δὴ παραγγέλλουσι ποιεῖν οἱ τεχνογράφοι, ἵνα τὸ ἦθος τοῦ λέγοντος ἐπιεικέστερον εἶναι δόξῃ. δύναται δὲ αὐτοῖς εὔνοιαν τοῦτο ποιεῖν καὶ ἐστὶ κράτιστον τῆς κατασκευῆς μέρος. utinam Dionysius autorem ex quo haec praecepta descripsit nuncupasset; in iis enim quae nobis supersunt, haec non inveniuntur.

Egregium exemplum, quod haec quae noster dicit illustret, est Isocrat. Antidos. §. 14 seqq. conf. ad cap. 29. πλεονεξίας exemplum praestat Isaeus VIII, 2. Aeschines in Tim. §. 1—3 se semper modestum fuisse neque quemquam offendisse dicit, ὁρῶν δὲ τήν τε πόλιν μεγάλα βλαπτομένην ὑπὸ Τιμάρχου τουτουί... καὶ αὐτὸς ἰδίᾳ συκοφαντούμενος... ἔν τι τῶν αἰσχίστων ἡγησάμην εἶναι μὴ βοηθῆσαι τῇ τε πόλει πάσῃ καὶ τοῖς νόμοις καὶ ὑμῖν καὶ ἐμαυτῷ... ipsumque ut in iudicium vocaretur autorem esse: τοῦ μὲν οὖν ὅλου ἀγῶνος φανήσεται οὔθ' ἡ πόλις αἰτία οὖσα Τιμάρχῳ οὔθ' οἱ νόμοι οὔθ' ὑμεῖς οὔτ' ἐγώ, ἀλλ' αὐτὸς οὗτος αὑτῷ. Dem. in Olymp. §. 52 p. 1182. adv. Leocharem exordium.

v. 23. κατὰ τὸν αὐτὸν δὲ λόγον καὶ τὰς ἀπαγγελίας συνάψομεν τῷ προοιμίῳ] intelligit quae supra cap. 30 de narrationis dispositione dixit; cum vero de narratione, qualis

in iudiciali genere esse debeat, taceat, autorem, quae cap. 30 de ea dederat praecepta in deliberativo genere, in hoc etiam, nisi casu hic excidisse credas, eadem probare necesse est. Quomodo enim praecepta narrationis in iudiciali genere, in quo semper flagitatur, silentio transire et in deliberativo, in quo raro invenitur, multis exponere potest autor, nisi haec etiam de illo valeant? ergo virtutes, ut narratio sit brevis dilucida verisimilis, quas universus rhetorum chorus de hoc genere decantat, aeque in hoc atque in illo apud nostrum vim exercent, idque certissime evincit locus cap. 38, ubi praeter alia omnibus orationibus communia praecepta etiam has narrationis virtutes vitae agendae accommodat. conf. supra ad cap. 30, artium script. pag. 169 seqq. L. Lersch Mus. Rhen. I p. 186 seqq. qui hunc locum explicat, rem ipsam negligit.

Antiphon de caede Herodis narrationem §. 20—4 in singulis confirmat partibus, Lysias in Simonem §. 5—20 testimonia inserit; item de caede Eratosth. et *περὶ τοῦ σηκοῦ*, in Agoratum §. 5—48. Isaeus II, 13—7.

τὸν αὐτὸν δὲ λόγον dixit, si verum est vocabulum, ne *τρόπον* repeteret; at huiusmodi repetitiones plurimae inveniuntur, neque *λόγον* dicit, sed semper *τρόπον*. temeritatis ergo me non accusabunt, qui hic quoque autorem morem suum secutum esse suspicer.

p. 76 v. 3. *τὰ δὲ μετὰ ταῦτα ἔσται βεβαίωσις*] Antiph. I nulla est confirmatio; narrationem §. 14—20 sequitur §. 21 seqq. *δείνωσις* et *ἔλεος*, argumentationem quaeras in exordio et narratione.

v. 6. *τάττειν δὲ δεῖ τῶν μὲν πίστεων πρώτας τὰς μαρτυρίας*] hoc praeceptum iam primi rhetores dederunt apud Platon. Phaedr. p. 266 (81) *δεύτερον δὲ δὴ διήγησίν τινα μαρτυρίας τε ἐπ' αὐτῇ, τρίτον τεκμήρια, τέταρτον εἰκότα, καὶ πίστωσιν οἶμαι καὶ ἐπιπίστωσιν λέγειν*

τόν γε βέλτιστον λόγων δαίδαλον Βυζάντιον ἄνδρα. Cum omnem confirmationem veteres dicant *πίστεις* neque hoc vocabulum de singulari quorumdam v. c. *εἰκότων, τεκμηρίων, σημείων* specie adhibeatur, Theodorum *ἀτέχνους πίστεις*, testimonia quaestiones alia, praepositas *πιστώσεις*, *ἐντέχνους* vero postpositas, *ἐπιπίστωσιν*, dixisse non improbabile erit.

Isocrates adv. Callim. post narrationem §. 5—12 primum testibus confirmat §. 13—15, deinde *εἰκότα* affert, hoc transitu facto §. 16 *ἡγοῦμαι δὲ εἰ μήτε ἦ δίαιτα ἐγεγόνει μήτε τῶν πεπραγμένων ἦσαν μάρτυρες, ἔδει δ' ἐκ τῶν εἰκότων σκοπεῖν, οὐδ' οὕτω χαλεπῶς ἂν ὑμᾶς γνῶναι τὰ δίκαια.* conf. oratt. *κατὰ Λοχίτου, περὶ τοῦ ζεύγους* initium. Demosth. adv. Olympiodor. similiter narrationi *μαρτυρίας* addit §. 33—5, deinde §. 36—8 quae adversarius dicturus sit confutat, denique ex oratorum more transitu facto §. 39 p. 1178 *ἃ μὲν οὖν ὦ ἄ. δ. οὗτος λέγει, ὑπόνοιαι πλασταί εἰσι καὶ προφάσεις ἄδικοι καὶ πονηρίαι ἐπὶ τῷ ἀποστερῆσαι ἃ προσήκει αὐτὸν ἀποδοῦναι ἐμοί· ἃ δὲ ἐγὼ ἐρῶ πρὸς ὑμᾶς ὅτι οὗτος ψεύδεται, ταῦτα δὲ ὑπόνοια μὲν οὐδεμία ἔσται, φανερῶς δ' ἐπιδείξω τὴν τούτου ἀναισχυντίαν, τεκμήρια λέγων ἀληθινὰ καὶ πᾶσι γνώριμα καὶ μάρτυρας παρεχόμενος περὶ ἁπάντων.* suas rationes §. 39—51 confirmat; vides hic confutationem non inepte confirmationi praemissam esse. Apollodorus quinque a patre in Timothei gratiam debita soluta enarrat pag. 1186 §. 6—32, quorum primum quartum et quintum statim §. 33 testimoniis confirmat, secundi et tertii testes deerant; quartum debitum praeter testimonium quatuor argumentis probat §. 33—41, ut dicit *ἔτι δὲ καὶ ἐκ τεκμηρίων πειράσομαι ὑμᾶς ἐγὼ διδάξαι ὅτι ἀληθῆ λέγω.* quorum secundum et tertium ipse *εἰκὸς* dicit §. 36. 38. tota oratio *ἐκ μαρτύρων* et *ἐκ τεκμηρίων* constat, §. 65. 69.

v. 12. *ἐὰν δὲ ὁμολογῆται τὰ πράγματα, τὰς μὲν πίστεις ἐατέον, τῇ δὲ δικαιολογίᾳ ὥσπερ ἐν τοῖς ἔμπροσθεν χρηστέον*] eadem supra in deliberativo genere cap. 32. Aeschines in Tim. §. 44 *ᾗ δὴ καὶ πάνυ χαίρω ὅτι μοι γέγονεν ἡ δίκη πρὸς ἄνθρωπον οὐκ ἠγνοημένον ὑφ' ὑμῶν, οὐδ' ἀπ' ἄλλου γιγνωσκόμενον οὐδενὸς ἢ ἀπ' αὐτοῦ τοῦ ἐπιτηδεύματος περὶ οὗ μέλλετε καὶ τὴν ψῆφον φέρειν. περὶ μὲν γὰρ τῶν ἀγνοουμένων σαφεῖς ἴσως προσήκει τὰς ἀποδείξεις ποιεῖσθαι τὸν κατήγορον, περὶ δὲ ὁμολογουμένων οὐ λίαν ἔγωγε μέγα ἔργον εἶναι νομίζω τὸ κατηγορεῖν· ἀναμνῆσαι γὰρ μόνον προσήκει τοὺς ἀκούοντας.* §. 89.

v. 20. *ἐὰν δὲ ὁμολογοῦντες ὦσιν, ἔννομα καὶ δίκαια ἀποφαίνειν κατὰ τοὺς γεγραμμένους νόμους*] haec sana non sunt; ut supra cap. 4, et infra hoc capite de defensione tres indicat autor constitutiones, primam coniecturalem, alteram iuridicialem, tertiam concessionis, quam alii iuridicialem assumptivam deprecationis dicunt; secunda vero est qua reus crimen non negat, sed facinus se iure et legitime commisisse dicit; sic paulo post dicta repetens *καθόλου δ' ἐὰν ὁμολογήσαντες ἐκ τῶν δικαίων καὶ τῶν νομίμων τὴν ἀπολογίαν ποιεῖσθαι μέλλωσιν, ἐκ τούτων τὰ ἐπίδοξα ῥηθήσεσθαι προκαταληπτέον*, infra *ἂν δὲ ὁμολογῶμεν τὰ ἐγκαλούμενα πεποιηκέναι, ἐκ τῶν δικαίων καὶ νομίμων μετιόντες ἐννομώτερα καὶ δικαιότερα τὰ ἡμέτερα ἀποδεικνύναι πειρασόμεθα.* cap. 4 *ἐὰν ἀναγκάζηται ὁμολογεῖν, πειρατέον δεικνύναι ἔννομον καὶ δίκαιον καὶ καλὸν καὶ συμφέρον τῇ πόλει τὸ πεπραγμένον.* haec congessimus, ut verba *ἐὰν δὲ ὁμολογοῦντες ὦσιν* sola stare non posse, sed seqq., his enim nituntur et se defendunt, necessario addenda esse appareret. hoc dicit, si factum concedunt idque se iure et lege fecisse fatentur, ex legibus nobis causa est disceptanda, ut quas nos afferamus meliores esse

doceamus. Sensus et structura sic procedet: *ἐὰν δὲ ὁμολογοῦντες φῶσιν* (vel *μέλλωσιν*) *ἔννομα καὶ δίκαια ἀποφαίνειν, τοὺς γεγραμμένους νόμους, οὓς ἡμεῖς παρεχόμεθα... πειρατέον ἐπιδεικνύειν.* multitudinis numerus *ἔννομα καὶ δίκαια*, quamvis *τὸ πρᾶγμα* praecedat, vix in nostro offendet.

Has duas constitutiones, coniecturalem et iuridicialem, oratores ipsi indicant. Lysias XII, 34 *δεῖ γὰρ ὦ ἄ. δ. Ἐρατοσθένην δυοῖν θάτερον ἀποδεῖξαι, ἢ ὡς οὐκ ἀπήγαγεν αὐτὸν ἢ ὡς δικαίως ταῦτα ἔπραξεν. οὗτος δὲ ὡμολόγηκεν ἀδίκως συλλαβεῖν, ὥστε ῥᾳδίαν ὑμῖν τὴν διαψήφισιν περὶ αὐτοῦ πεποίηκεν.* XIII, 49—51 *θαυμάζω δ' ἔγωγε ὦ ἄ. δ. ὅ τι ποτὲ τολμήσει πρὸς ὑμᾶς ἀπολογεῖσθαι. δεῖ γὰρ αὐτὸν ἀποδεῖξαι ὡς οὐ κατεμήνυσε τῶν ἀνδρῶν τούτων οὐδ' αἴτιος αὐτοῖς ἐστι τοῦ θανάτου, ὅπερ οὐκ ἂν δύναιτο οὐδέποτε ἀποδεῖξαι... ὡς μὲν οὖν οὐκ ἀπέγραψεν, οὐδενὶ τρόπῳ δύναιτ' ἂν ἀποδεῖξαι. δεῖ τοίνυν αὐτὸν ὡς δικαίως ἐμήνυσε ταῦτα ἀποφαίνειν, ὁρῶν αὐτοὺς πονηρὰ καὶ οὐκ ἐπιτήδεια τῷ δήμῳ τῷ ὑμετέρῳ πράττοντας. οἶομαι δ' οὐδ' ἂν τοῦτον αὐτὸν ἐπιχειρῆσαι ἀποδεικνύναι.* §. 83—4 *ἐγὼ μὲν οἶμαι, εἴτε εὐθὺς εἴτε χρόνῳ τις τιμωρεῖται, τοῦτον δεῖν ἀποδεικνύναι ὡς οὐ πεποίηκε περὶ ὧν ἐστιν ἡ αἰτία. οὗτος τοίνυν τοῦτο ἀποφαινέτω, ἢ ὡς οὐκ ἀπέκτεινεν ἐκείνους ἢ ὡς δικαίως, κακόν τι ποιοῦντας τὸν δῆμον τὸν Ἀθηναίων.* XXIX, 5 *ἡγοῦμαι δὲ ὦ ἄ. δ. Φιλοκράτει δύο εἶναι καὶ μόνας ἀπολογίας. προσήκει γὰρ αὐτῷ ἀποδεῖξαι ἢ ἑτέρους ἔχοντας τὰ Ἐργοκλέους χρήματα, ἢ ἀδίκως ἀπολωλότα ἐκεῖνον καὶ οὐδὲν ὑφῃρημένον τῶν ὑμετέρων οὐδὲ δεδωροδοκηκότα.* Cicero pro Mil. §. 8.

In seqq. semina latent constitutionis, quam legitimam dicunt, et primum quidem de contrariis legibus, tum de ambiguo et ex scripto et sententia, de quibus nec Arist.

Rhet. I, 15 tacet et plura dant posteriores; exempla vero apta in iis, quae nobis supersunt, raro inveniuntur.

p. 77 v. 4. *ὅτι οὐ νομοθετεῖν νῦν προσήκει*] contrarium ap. Lysiam XIV, 4 *εἰκὸς τοίνυν ἐστὶν ὦ ἄ. δ., ἐξ οὗ τὴν εἰρήνην ἐποιησάμεθα, πρῶτον περὶ τούτων νυνὶ δικάζοντας μὴ μόνον δικαστὰς ἀλλὰ καὶ νομοθέτας αὐτοὺς γενέσθαι, εὖ εἰδότας ὅτι, ὅπως ἂν ὑμεῖς νυνὶ περὶ αὐτῶν γνῶτε, οὕτω καὶ τὸν ἄλλον χρόνον ἡ πόλις αὐτοῖς χρήσεται. δοκεῖ δέ μοι πολίτου χρηστοῦ καὶ δικαστοῦ δικαίου ἔργον εἶναι ταύτῃ τοὺς νόμους διαλαμβάνειν, ὅπῃ καὶ εἰς τὸν λοιπὸν χρόνον μέλλει συνοίσειν τῇ πόλει.* XV, 9 *μεμνῆσθαι χρὴ ὅτι οὐ νομοθετήσοντες περὶ αὐτῶν ἥκετε, ἀλλὰ κατὰ τοὺς νόμους ψηφιούμενοι.*

v. 9. *ῥητέον δὲ καὶ ὡς οὐ παρανομήσουσιν ἂν τούτῳ τῷ νόμῳ ἐναντίαν ψῆφον θῶνται, ἀλλὰ νομοθετήσουσιν*] Nicias ap. Thucyd. VI, 14 expeditionem in Siciliam iam plebiscito iussam dissuadens: *καὶ σὺ ὦ πρύτανι ταῦτα, εἴ περ ἡγεῖ σοι προσήκειν κήδεσθαί τε τῆς πόλεως καὶ βούλει γενέσθαι πολίτης ἀγαθός, ἐπιψήφιζε καὶ γνώμας προτίθει αὖθις Ἀθηναίοις, νομίσας, εἰ ὀρθωθεῖς τὸ ἀναψηφίσαι, τὸ μὲν λύειν τοὺς νόμους μὴ μετὰ τοσῶνδ' ἂν μαρτύρων αἰτίαν σχεῖν, τῆς δὲ πόλεως βουλευσαμένης ἰατρὸς ἂν γενέσθαι, καὶ τὸ καλῶς ἄρξαι τοῦτ' εἶναι, ὃς ἂν τὴν πατρίδα ὠφελήσῃ ὡς πλεῖστα ἢ ἑκὼν εἶναι μηδὲν βλάψῃ.*

v. 19. *ἂν δ' ὡς ὁ ἐναντίος λέγει, χρὴ διδάσκειν, ὡς ὁ νομοθέτης οὐ τοῦτο διενοεῖτο ὃ σὺ λέγεις, καὶ ὅτι συμφέρει αὐτοῖς οὕτω λέγειν τὸν νόμον*] si contrarium tibi est scriptum, utere ex sententia; ergo aut *οὐ* delendum est, aut *οὐ τοῦτο διενοεῖτο, ἀλλ' ὃ σὺ λέγεις* scribendum.

Lysias ex sententia X, 6—20, e quibus haec vide: *τὸν γὰρ νόμον οὐ ταῦτ' ἀπαγορεύειν, ἀλλ' ἀνδροφόνον οὐκ ἐᾷν λέγειν. ἐγὼ δὲ οἶμαι ὑμᾶς ὦ ἄ. δ. οὐ περὶ τῶν ὀνομάτων διαφέρεσθαι ἀλλὰ τῆς τούτων διανοίας, καὶ πάντας εἰδέναι,*

ὅτι ὅσοι ἀπεκτόνασί τινας, καὶ ἀνδροφόνοι εἰσί, καὶ ὅσοι ἀνδροφόνοι εἰσί, καὶ ἀπεκτόνασί τινας. πολὺ γὰρ ἔργον ἦν τῷ νομοθέτῃ ἅπαντα τὰ ὀνόματα γράφειν, ὅσα τὴν αὐτὴν δύναμιν ἔχει, ἀλλὰ περὶ ἑνὸς εἰπὼν περὶ πάντων ἐδήλωσεν. XIV, 4 seqq. XVI, 6—7. Isaeus I, 13 καίτοι χρὴ θεωρεῖν αὐτοῦ τὴν διάνοιαν ἐκ τούτων τῶν ἔργων μᾶλλον ἢ ἐκ τῶν διαθηκῶν καὶ τεκμηρίοις χρῆσθαι μὴ τοῖς μετ' ὀργῆς πραχθεῖσιν, ἐν οἷς ἅπαντες πεφύκαμεν ἁμαρτάνειν, ἀλλ' ἀφ' ὧν ὕστερον φανερὰν αὐτοῦ τὴν διάνοιαν ἐποίησεν. at idem ex scripto VIII, 1 ἐπὶ τοῖς τοιούτοις ὦ ἄνδρες ἀνάγκη ἐστὶ χαλεπῶς φέρειν, ὅταν τινὲς μὴ μόνον τῶν ἀλλοτρίων ἀμφισβητεῖν τολμῶσιν, ἀλλὰ καὶ τὰ ἐκ τῶν νόμων δίκαια τοῖς σφετέροις αὐτῶν λόγοις ἀφανίζειν ἐλπίζωσιν, ὅπερ καὶ νῦν οὗτοι ποιεῖν ἐγχειροῦσιν. conf. Apsines IX, 511 seqq. Rhet. IV, 508—16. 797. VII, 425 seqq.

Generis deliberativi exemplum legimus in Thucyd. I, 35 ubi ex scripto dicunt Corcyraei λύσετε δὲ οὐδὲ τὰς Λακεδαιμονίων σπονδὰς δεχόμενοι ἡμᾶς μηδετέρων ὄντας ξυμμάχους. εἴρηται γὰρ ἐν αὐταῖς, τῶν Ἑλληνίδων πόλεων ἥτις μηδαμοῦ ξυμμαχεῖ, ἐξεῖναι παρ' ὁποτέρους ἂν ἀρέσκηται ἐλθεῖν. negant Corinthii cap. 40 atque foederis verba ex sententia explicant: ὡς δ' οὐκ ἂν δικαίως αὐτοὺς δέχοισθε, μαθεῖν χρή. εἰ γὰρ εἴρηται ἐν ταῖς σπονδαῖς ἐξεῖναι παρ' ὁποτέρους τις τῶν ἀγράφων πόλεων βούλεται ἐλθεῖν, οὐ τοῖς ἐπὶ βλάβῃ ἑτέρων ἰοῦσιν ἡ ξυνθήκη ἐστίν, ἀλλ' ὅστις μὴ ἄλλου αὐτὸν ἀποστερῶν ἀσφαλείας δεῖται, καὶ ὅστις μὴ τοῖς δεξαμένοις, εἰ σωφρονοῦσι, πόλεμον ἀντ' εἰρήνης ποιήσει, ὃ νῦν ὑμεῖς μὴ πειθόμενοι ἡμῖν πάθοιτε ἄν.

v. 22. δείκνυε ὡς οὐδὲν ἄλλο λέγειν ὁ ἐναντίος δύναται νόμος ἢ ὃ σύ] offendit ὁ ἐναντίος νόμος ubi ἀμφιβόλους νόμους examinat, sed noster posteriorum discrimina qui multa de hac re docent ignorat. neque sensum video

aptum; an *νόμος* delendum est? quodsi contrarium probare non potes, ne adversarium quidem alia sentire aut meliora afferre doceas.

p. 78 v. 1. *ἐὰν δὲ ὁμολογήσαντες συγγνώμης ἀξιῶσι τυχεῖν, ὧδε χρὴ περιαιρεῖσθαι τὰ τοιαῦτα τῶν ἀντιδίκων*] eadem supra docuit cap. 4 ubi vid. De hac *συγγνώμῃ* vid. quae docent rhetores graeci IV, 250 seq. 688, aut. ad Herenn. II, 16—7. Cicero de invent. II, 31. Ernest. lex. s. v. *συγγνώμη*.

v. 13. *καθάπερ ἐν ἀρχαῖς δεδηλώκαμεν*] cap. 4.

v. 17. *μετὰ δὲ ταύτην τὴν αἰτίαν ἀναλογητέον ἐν κεφαλαίῳ τὸν λόγον ὅλον*] confutationem sequitur epilogus vel peroratio. hoc dicit, at graeca aliud sonant; scribendum esse videtur *τὴν ἀντιλογίαν παλιλλογητέον ἐν* et de verbo quidem autori nostro solemni non dubitandum, confutationem vero dicit *προκατάληψιν*, quam hoc quoque loco requirimus et fortasse hoc verum est vocabulum; *ἀντιλογίας* dicit cap. 2. 6. 33. 37, *ἀντιλέγειν* paulo supra hoc sensu adhibuit. Cod. V *ταῦτα* praebet: id si verum est, reddendum *μετὰ δὲ ταῦτα παλιλλογητέον*, ut infra *μετὰ δὲ ταῦτα παλιλλογία τῶν εἰρημένων ἤδη σύντομος ἀνάμνησις*.

p. 79 v. 4. *ταῦτα προεκθέμενοι μετὰ τὸ προοίμιον διαλύσομεν*] Bekkerus *προθέμενοι* quo autor uti solet, qui nunquam *προεκθέσθαι* dicit; non *πρόθεσις* exordii intelligitur qua noster ut auditores dociles faciamus praecipit; sed quae exordium sequitur, *μετὰ τὸ προοίμιον*, id est narratio vel divisio requiritur, ut cap. 37 *φροιμιασάμενοι δ' ἐκ τούτων καὶ τῶν τούτοις ὁμοιοτρόπων ἐφεξῆς ἕκαστον προτιθέμενοι τῶν ῥηθέντων . . . ἐξετάσομεν*. conf. Ernest. lex. s. v. *πρόθεσις* et *προέκθεσις*.

v. 8. *εἰ δ' εἶεν οἱ μάρτυρες οἱ βασανισθέντες πιστοὶ*] *μάρτυρες* ingenui et liberi non *βασανίζονται*, unde *οἱ μάρ-*

τυρες ἢ οἱ βασ. vel καὶ, quod interpres H. Knebel dedit, scribendum esse apparet, sed ne sic quidem locus integer; tria enim sunt quae supra dixit τούς τε μάρτυρας καὶ τὰς βασάνους καὶ τοὺς ὅρκους ἀπίστους ποιήσομεν, neque video cur h. l. tertium neglexerit.

v. 10. ἂν δὲ τὸ λυσιτελὲς ἢ τὸ ἔθος ἐπιφέρων σοῦ κατηγορήσῃ] si accusator dixerit rem tibi commodo fuisse et commodorum spem te ad maleficium induxisse, aut te a simili maleficio non alienum fuisse, quod posteriores dicunt rhetores probabile ex causa et vita, contrarium doceas, quae optime autor ad Herenn. II, 2 exponit. necessarium igitur est quod Bekkerus in seqq. coniecit, ὡς ἀλυσιτελές pro vulgato ὡς λυσιτελές. Omnes vero πίστεις supra praeceptas ultimo ἐλέγχῳ omisso ex ordine infirmat et ἀπίθανα reddit.

Lysias VII, 13 πάντες γὰρ ἄνθρωποι τὰ τοιαῦτα οὐχ ὕβρεως ἀλλὰ κέρδους ἕνεκα ποιοῦσι. καὶ ὑμᾶς εἰκὸς ταῦτα σκοπεῖν, καὶ τοὺς ἀντιδίκους ἐκ τούτων τὰς κατηγορίας ποιεῖσθαι, ἀποφαίνοντας ἥτις ὠφέλεια τοῖς ἀδικήσασιν ἐγένετο. οὗτος μέντοι οὐκ ἂν ἔχοι ἀποδεῖξαι οὔθ' ὡς ὑπὸ πενίας ἠναγκάσθην τοιούτοις ἔργοις ἐπιχειρεῖν οὔθ' κτλ. idem ex vita §. 30—3 se defendit.

v. 27. ἐὰν δὲ μὴ τοῦτ' ἐνδέχηται, εἰς ἁμάρτημα ἢ ἀτύχημα καταφεύγοντας καὶ σμικρὰς τὰς βλάβας ἀποφαίνοντας συγγνώμης τυγχάνειν πειρατέον] vide quae supra cap. 4 attulimus. Lysias III, 4 ἀξιῶ δὲ ὦ βουλὴ εἰ μὲν ἀδικῶ, μηδεμιᾶς συγγνώμης τυγχάνειν, ἐὰν δὲ περὶ τούτων ἀποδείξω ὡς οὐκ ἔνοχός εἰμι οἷς Σίμων διωμόσατο, ἄλλως δὲ ὑμῖν φαίνωμαι παρὰ τὴν ἡλικίαν τὴν ἐμαυτοῦ ἀνοητότερον πρὸς τὸ μειράκιον διατεθείς, αἰτοῦμαι ὑμᾶς μηδέν με χείρω νομίζειν, εἰδότας ὅτι ἐπιθυμῆσαι μὲν ἅπασιν ἀνθρώποις ἔνεστιν, οὗτος δὲ βέλτιστος ἂν εἴη καὶ σωφρονέστατος, ὅστις κοσμιώτατα τὰς συμφορὰς

φέρειν δύναται· οἷς ἅπασιν ἐμποδὼν ἐμοὶ γεγένηται **Σίμων** *οὗτος, ὡς ἐγὼ ὑμῖν ἀποδείξω.* **Antiphon V, 92** *ἔπειτα δὲ τὰ μὲν ἀκούσια τῶν ἁμαρτημάτων ἔχει συγγνώμην, τὰ δὲ ἑκούσια οὐκ ἔχει. τὸ μὲν γὰρ ἀκούσιον ἁμάρτημα ὦ ἄνδρες τῆς τύχης ἐστί, τὸ δὲ ἑκούσιον τῆς γνώμης. ἑκούσιον δὲ πῶς ἂν εἴη μᾶλλον ἢ εἴ τις ὧν βουλὴν ποιοῖτο, ταῦτα παραχρῆμα ἐργάζοιτο;* **conf. I, 27. VI, 1. Corcyraei ap. Thucyd. I, 32** *καὶ ξυγγνώμη, εἰ μὴ μετὰ κακίας, δόξης δὲ μᾶλλον ἁμαρτίᾳ τῇ πρότερον ἀπραγμοσύνῃ ἐναντία τολμῶμεν.* **quod diluunt Corinthii cap. 37. Antiph. tetralog. III, α, 6** *εἰ μὲν γὰρ ἄκων ἀπέκτεινε τὸν ἄνδρα, ἄξιος ἂν ἦν συγγνώμης τυχεῖν τινός· ὕβρει δὲ καὶ ἀκολασίᾳ παροινῶν εἰς ἄνδρα πρεσβύτην, τύπτων καὶ πνίγων ἕως τῆς ψυχῆς ἀπεστέρησεν αὐτόν, ὡς μὲν ἀποκτείνας τοῦ φόνου τοῖς ἐπιτιμίοις ἔνοχός ἐστιν, ὡς δὲ συγχέων ἅπαντα τῶν γεραιτέρων τὰ νόμιμα οὐδενὸς ἁμαρτεῖν οἷς οἱ τοιοῦτοι κολάζονται δίκαιός ἐστιν.* **omnibus praestat Demosth. locus de cor. §. 274** *παρὰ μὲν τοίνυν τοῖς ἄλλοις ἔγωγ' ὁρῶ πᾶσιν ἀνθρώποις διωρισμένα καὶ τεταγμένα πως τὰ τοιαῦτα. ἀδικεῖ τις ἑκών; ὀργὴν καὶ τιμωρίαν κατὰ τούτου. ἐξήμαρτέ τις ἄκων; συγγνώμην ἀντὶ τῆς τιμωρίας τούτῳ. οὔτ' ἀδικῶν τις οὔτ' ἐξαμαρτάνων εἰς τὰ πᾶσι δοκοῦντα συμφέρειν ἑαυτὸν δοὺς οὐ κατώρθωσε μεθ' ἁπάντων; οὐκ ὀνειδίζειν οὐδὲ λοιδορεῖσθαι τοιούτῳ δίκαιον ἀλλὰ συνάχθεσθαι. φανήσεται ταῦτα πάντα οὕτως οὐ μόνον τοῖς νομίμοις, ἀλλὰ καὶ ἡ φύσις αὐτὴ τοῖς ἀγράφοις νόμοις καὶ τοῖς ἀνθρωπίνοις ἤθεσι διώρικεν. Αἰσχίνης τοίνυν τοσοῦτον ὑπερβέβληκεν ἅπαντας ἀνθρώπους ὠμότητι καὶ συκοφαντίᾳ, ὥστε καὶ ὧν αὐτὸς ὡς ἀτυχημάτων ἐμέμνητο, καὶ ταῦτ' ἐμοῦ κατηγορεῖ.* **pag. 1278 §. 23—5 ubi reus vel** *μικρὰς βλάβας* **accusatori factas esse negat, atque ideo etiam** *συγγνώμην* **removet.**

p. 80 v. 11. *ἐὰν δὲ διαβάλλωσιν ἡμᾶς ὡς γεγραμμένους*

λόγους λέγομεν ἢ λέγειν μελετῶμεν ἢ ὡς ἐπὶ μισθῷ τινι συνηγοροῦμεν] tam apta sunt et conveniunt quae in Midianae confutatione §. 191—2 p. 576 leguntur, ut inde fere praeceptum sumptum esse credas: τάχα τοίνυν ἴσως καὶ τὰ τοιαῦτ' ἐρεῖ, ὡς ἐσκεμμένα καὶ παρεσκευασμένα πάντα λέγω νῦν. ἐγὼ δ' ἐσκέφθαι μὲν ὦ ἄ. Ἀ. φημὶ καὶ οὐκ ἂν ἀρνηθείην, καὶ μεμελετηκέναι γ' ὡς ἐνῆν μάλιστα ἐμοί. καὶ γὰρ ἂν ἄθλιος ἦν, εἰ τοιαῦτα παθὼν καὶ πάσχων ἠμέλουν ὧν περὶ τούτων ἐρεῖν ἤμελλον πρὸς ὑμᾶς· γεγραφέναι μέντοι μοι τὸν λόγον Μειδίαν· ὁ γὰρ τὰ ἔργα παρεσχηκὼς περὶ ὧν εἰσιν οἱ λόγοι, δικαιότατ' ἂν ταύτην ἔχοι τὴν αἰτίαν, οὐχ ὁ ἐσκεμμένος οὐδ' ὁ μεριμνήσας τὰ δίκαια λέγειν νῦν. ἐγὼ μὲν οὖν τοῦτο ποιῶ ὦ ἄ. Ἀ. καὶ αὐτὸς ὁμολογῶ, Μειδίαν μέντοι μηδὲν ἐσκέφθαι πώποτ' ἐν παντὶ τῷ βίῳ δίκαιον εἰκός ἐστιν· εἰ γὰρ καὶ κατὰ μικρὸν ἐπῄει τὰ τοιαῦτ' αὐτῷ σκοπεῖν, οὐκ ἂν τοσοῦτον διημάρτανε τοῦ πράγματος. vides egregiam cavillationem quam autor noster suadet; nec minus praestans est praecedens προκατάληψις, quam orator elevat §. 189—90: καὶ ῥήτωρ ἐστὶν οὗτος, ἴσως ἐμὲ φήσει λέγων. ἐγὼ δ' εἰ μὲν ὁ συμβουλεύων ὅ τι ἂν συμφέρειν ὑμῖν ἡγῆται, καὶ τοῦτ' ἄχρι τοῦ μηδὲν ὑμῖν ἐνοχλεῖν μηδὲ βιάζεσθαι, ῥήτωρ ἐστίν, οὔτε φύγοιμ' ἂν οὔτ' ἀπαρνοῦμαι τοῦτο τοὔνομα· εἰ μέντοι ῥήτωρ ἐστὶν οἵους ἐνίους τῶν λεγόντων ἐγὼ καὶ ὑμεῖς δὲ ὁρᾶτε, ἀναιδεῖς καὶ ἐξ ὑμῶν πεπλουτηκότας, οὐκ ἂν εἴην οὗτος ἐγώ. εἴληφα μὲν γὰρ οὐδ' ὁτιοῦν παρ' ὑμῶν, τὰ δὲ ὄντα εἰς ὑμᾶς πλὴν πάνυ μικρῶν ἅπαντ' ἀνήλωκα. καίτοι καὶ εἰ τούτων ἦν πονηρότατος, κατὰ τοὺς νόμους ἔδει παρ' ἐμοῦ δίκην λαμβάνειν, οὐκ ἐφ' οἷς ἐλειτούργουν ὑβρίζειν. ἔτι τοίνυν οὐδείς ἐστιν ὅστις ἐμοὶ τῶν λεγόντων συναγωνίζεται. καὶ οὐδενὶ μέμφομαι· οὐδὲ γὰρ αὐτὸς οὐδενὸς ἕνεκα τούτων οὐδὲν ἐν ὑμῖν πώποτ' εἶπον, ἀλλ' ἁπλῶς κατ' ἐμαυτὸν ἔγνων καὶ λέγειν καὶ πράττειν ὅ τι ἂν

συμφέρον ὑμῖν ἡγῶμαι. ἀλλὰ τούτῳ πάντας αὐτίκα δὴ μάλα συνεξεταζομένους τοὺς ῥήτορας ὄψεσθ' ἐφεξῆς. καίτοι πῶς ἐστι δίκαιον τοῦνομα μὲν τοῦτο ὡς ὄνειδος προφέρειν ἐμοί, διὰ τούτων δ' αὐτὸν τῶν ἀνδρῶν ἀξιοῦν σωθῆναι; de falsa legat. §. 246 pag. 417 seq. *λογογράφους τοίνυν καὶ σοφιστὰς ἀποκαλῶν τοὺς ἄλλους καὶ ὑβρίζειν πειρώμενος αὐτὸς ἐξελεγχθήσεται τούτοις ὢν ἔνοχος.* quibus Dem. Aeschinem in Timarch. §. 94. 180 intelligit. Isocrat. Antidos. §. 14 *οὗτος γὰρ αὐτὸς συγγεγραμμένα λέγων περὶ τῶν ἐμῶν συγγραμμάτων πλείω πεποίηται λόγον ἢ περὶ τῶν ἄλλων ἁπάντων, ὅμοιον ἐργαζόμενος ὥσπερ ἂν εἴ τις ἱεροσυλίας ἕτερον διώκων αὐτὸς τὰ τῶν θεῶν ἐν τοῖν χεροῖν ἔχων φανείη.* conf. §. 30—6 ubi artem suam elevat neque perniciosam esse docet. sic adversarii artem amplificantes iudices ut sibi caveant adhortantur, in Androtionem §. 4 *νῦν δ' οἶδα σαφῶς ὅτι οὗτος ἁπλοῦν μὲν οὐδὲ δίκαιον οὐδὲν ἂν εἰπεῖν ἔχοι, ἐξαπατᾷν δ' ὑμᾶς πειράσεται πλάττων καὶ παράγων πρὸς ἕκαστα τούτων κακούργους λόγους. ἔστι γὰρ ὦ ἄ. Ἀ. τεχνίτης τοῦ λέγειν καὶ πάντα τὸν βίον ἐσχόλακεν ἐν τούτῳ.* Aeschines de Demosthene in Tim. §. 117 *ὃ τὰς τῶν λόγων τέχνας κατεπαγγελλόμενος τοὺς νέους διδάσκειν.* §. 173. *περὶ παραπρ.* §. 156. Hermann gr. Staatsalt. §. 142, 16. Demosthenes LI de corona trierarch. §. 16—22 adversus *συνηγόρους* mercede conductos qui ipsi alios accusant, e quibus §. 19 haec audias: *εἶθ' ὥσπερ οὐχὶ πολιτείας κοινῆς μετέχοντες, καὶ διὰ ταῦτα τῷ βουλομένῳ λέγειν ἐξόν, ἀλλ' ἱερωσύνην ἰδίαν αὐτοί τινα ταύτην ἔχοντες, ἐὰν ὑπὲρ τῶν δικαίων ἐν ὑμῖν τις εἴπῃ, δεινὰ πάσχουσι καὶ θρασὺν εἶναί φασιν. καὶ εἰς τοσοῦτον ἀναισθησίας προήκουσιν ὥστ' οἴονται, τὸν ἅπαξ εἰρηκότα ἂν καλέσωσιν ἀναιδῆ, σφᾶς αὐτοὺς πάντα τὸν βίον καλοὺς κἀγαθοὺς νομίζεσθαι. καίτοι διὰ μὲν τὰς τούτων δημηγορίας πολλὰ χεῖρον ἔχει, διὰ δὲ τοὺς οἰομέ-*

νους δεῖν τὰ δίκαια ἀντιλέγειν οὐ πάντ' ἀπόλωλεν. Demosth. de coron. §. 276 seqq. *δεινότητα* suam ab Aeschine obiectam explicat, et quae accusatores reis exprobrant, ipse in adversario vituperat: *καί μοι δοκεῖς ἐκ τούτων Αἰσχίνη λόγων ἐπίδειξίν τινα καὶ φωνασκίας βουλόμενος ποιήσασθαι τοῦτον προελέσθαι τὸν ἀγῶνα, οὐκ ἀδικήματος οὐδενὸς λαβεῖν τιμωρίαν, κτλ.* eadem iam §. 226.

v. 26. *οὐ γὰρ οὕτω πονηρὸν οὐδὲ συκοφάντην αὐτὸν εἶναι*] quodsi dicit, si artem exercuisset, non tam malus esset neque tantopere calumniaretur, particula *ἄν* abesse non potest, sed infinitivus etiam offendit; ergo intellige de oratore qui loquitur: ego enim artem doctus non tam *πονηρὸς* neque *συκοφάντης* sum quam adversarius illius artis rudis.

p. 81 v. 10. *τῷ αὐτῷ δὲ τρόπῳ*] semper accusativum, nunquam hoc loco excepto dativum exhibet autor, ut paulo supra, unde et hic reponendum erit *τὸν αὐτὸν δὲ τρόπον.* dativus ne graecus quidem esse videtur, sed fortasse excidit aliquid, v. c. *τῷ αὐτῷ δὲ τρόπῳ δεῖ χρῆσθαι κἂν...* sic enim melius procedit sequens *γὰρ* et aptum habet locum, nunc vero tam abrupta est sententia, ut delendam esse credas particulam.

ἐάν τις ἡμᾶς δικάζεσθαί τινας λέγῃ διδάσκειν ἢ λόγους δικανικοὺς γράφειν] hoc opprobrium sophistis et rhetoribus fecit Isocrates *κατὰ σοφ.* §. 19 seqq. idque cum in ipsum retorsisset Lysimachus, Antid. §. 37—44 diluit.

v. 16. *χρὴ δὲ καὶ περὶ τὰς ἐρωτήσεις καὶ τὰς ἀποκρίσεις, ὁπόσαι πίπτουσιν εἰς τὰ τοιαῦτα εἴδη, μὴ ῥᾳθύμως ἔχειν, ἀλλὰ διακρίνειν τὰς ὁμολογίας καὶ τὰς ἀρνήσεις ἐν ταῖς ἀποκρίσεσιν*] *ἐρώτησιν* et *ἀπόκρισιν* post confutationem et ante conclusionem etiam Aristoteles III, 18 ponit, at alius generis sunt illius interrogationes et responsiones. quae vero Anaximenes praebet, cum ex his consti-

tutio et iudicatio consistat, narratione perorata, non fine confutationis collocata exspectamus, ut mirum sit, quid sibi haec denuo repetita velint. in his enim variarum vides initia *στάσεων*, re ipsa magis suggesta quam arte explicita.

v. 19. *ὁμολογίαι μὲν οὖν εἰσιν αἱ τοιαίδε· ἀπέκτεινάς μου τὸν υἱόν· ἀπέκτεινα πρότερον ἐπ' ἐμὲ σίδηρον αἰρόμενον. συνέκοψάς μου τὸν υἱόν· ἔγωγε ἀδίκων χειρῶν ἄρχοντα. κατέαξάς μου τὴν κεφαλήν· ἐγὼ βιαζομένου σου νύκτωρ εἰς τὴν ἐμὴν οἰκίαν εἰσιέναι.*] reus qui facinus se fecisse non negat, sed confitetur, rationem, quae causam facit et continet defensionem, *τὸ συνέχον, πρόφασιν*, addit, quam nisi attulerit, pervertet defensionem, conf. aut. ad Herenn. I §. 26, ergo initio, non fine haec consideranda sunt. Demosth. in Aristocr. §. 50 *ἆρ' οὐ πάντα συγχεῖς τἀνθρώπινα καὶ ἀφαιρῇ τὴν πρόφασιν μεθ' ἧς ἢ καλόν ἐστιν ἕκαστον τῶν ἔργων ἢ αἰσχρόν; ὁρᾶτε γὰρ ὡς ἐπὶ πάντων, οὐκ ἐπὶ τῶν φονικῶν μόνον οὕτω τοῦτ' ἔχει. ἄν τις τύπτῃ τινά, φησίν, ἄρχων χειρῶν ἀδίκων, ὡς εἴ γε ἠμύνατο οὐκ ἀδικεῖ. ἄν τις κακῶς ἀγορεύῃ, τὰ ψευδῆ προσέθηκεν, ὡς εἴ γε τἀληθῆ προσῆκον. ἄν τις ἀποκτείνῃ, ἐκ προνοίας, ὡς εἴ γ' ἄκων οὐ ταὐτόν. ἄν τις καταβλάψῃ τινὰ ἑκὼν ἀδίκως· πανταχοῦ τὴν πρόφασιν βεβαιοῦσαν τὸ πρᾶγμα εὑρήσομεν. ἀλλ' οὐ σοί, ἀλλ' ἁπλῶς ἄν τις ἀποκτείνῃ Χαρίδημον, ἀγέσθω, κἂν ἄκων κἂν δικαίως κἂν ἀμυνόμενος κἂν ἐφ' οἷς διδόασιν οἱ νόμοι κἂν ὁπωσοῦν.* Ex hoc genere est Isocratis oratio in Lochitem *(ἔτυπτέ με Λοχίτης ἄρχων χειρῶν ἀδίκων)*, Antiphontis tetralogia tertia.

p. 82 v. 1. *αἱ δὲ τοιαίδ' ἀρνήσεις παρεγκλίνουσι τὸν νόμον· ἀπέκτεινάς μου τὸν υἱόν· οὐκ ἔγωγε, ἀλλ' ὁ νόμος.*] Lysias I, 26 *κἀκεῖνος ἀδικεῖν μὲν ὡμολόγει, ἠντιβόλει δὲ καὶ ἱκέτευε μὴ αὐτὸν κτεῖναι ἀλλ' ἀργύριον πράξασθαι. ἐγὼ δ' εἶπον, οὐκ ἐγώ σε ἀποκτενῶ ἀλλ' ὁ τῆς*

πόλεως νόμος, ὃν σὺ παραβαίνων περὶ ἐλάττονος τῶν ἡδονῶν ἐποιήσω, καὶ μᾶλλον εἴλου τοιοῦτον ἁμάρτημα ἐξαμαρτάνειν εἰς τὴν γυναῖκα τὴν ἐμὴν καὶ εἰς τοὺς παῖδας τοὺς ἐμοὺς ἢ τοῖς νόμοις πείθεσθαι καὶ κόσμιος εἶναι. Aeschines in Ctesiph. §. 24.

v. 6. *μετὰ δὲ ταῦτα παλιλλογία τῶν εἰρημένων ἤδη σύντομος ἀνάμνησις*] offendit *ἤδη* participio adhaerens, neque transponens neque mutans id reperio quod autoris usui satis certo et arcto convenit; si scripseris *τῶν εἰρ. σύντ. ἀν.*, id multum praestat correctioni *ἢ σύντομος*.

v. 7. *χρήσιμος δέ ἐστι παρὰ πάντας τοὺς καιρούς*] vid. supra cap. 20.

v. 11. *οὐ γὰρ μόνον ἀναμνῆσαι δεῖν φαμὲν*] in conclusione et epilogo dicta non solum enumeranda, ut in singulis partibus frequentatione uti licet, sed auditores etiam amplificatione et commiseratione commovendi sunt.

v. 16. *ἀπολογιζόμενον περὶ τῶν εἰρημένων ἢ διαλογιζόμενον ἢ προσερωτῶντα . . . εἰ δὲ βούλει, ἐρωτήσεως σχῆμα ποιησάμενον*] corruptus locus in quo interrogatio bis invenitur, ex cap. 20—1 restituendus; deest enim *ἢ προαιρούμενον*, et *εἰρωνείας σχῆμα* pro *ἐρωτήσεως* reddendum, neque *ἢ διαλογιζόμενον*, quod optimi omittunt, loco suo illatum est. scribendum igitur *διαλογιζόμενον ἢ ἀπολογιζόμενον περὶ τῶν εἰρημένων ἢ προαιρούμενον ἢ προσερωτῶντα τῶν μὲν . . . βούλει, εἰρωνείας σχῆμα ποιησάμενον.* similiter Sauppius epist. cr. pag. 150 qui sic posuit verba *διαλογιζόμενον περὶ τῶν εἰρημένων ἢ ἀπολογιζόμενον ἢ προσερωτῶντα* [*ἢ προαιρούμενον*] *τῶν μὲν* —. at ordo erat servandus, ut si verba *τῶν μὲν . . . φαυλότατα* ex *προαιρούμενον* dependerent, post haec *ἢ προσερωτῶντα* essent addenda.

v. 20. *εὖ δὲ διαθήσομεν ἡμᾶς καὶ τοὺς ἐναντίους κακῶς*] inconstantia quadam utitur autor, qui ex more et

vulgari usu dixit *πρὸς ἡμᾶς τοὺς κριτὰς εὖ διαθεῖναι*, unde et hic exspectamus *πρὸς ἡμᾶς καὶ πρὸς τούς*, at etiam infra *καὶ πρὸς τοὺς ἀκούοντας εὖ διαθήσομεν*, non *πρὸς ἡμᾶς τούς*, et fine *εὐμενῶς μὲν αὐτούς, κακῶς δὲ τοὺς ἐναντίους διαθήσομεν.*

p. 83 v. 1. *ἢ πάλιν τοὺς κρίνοντας αὐτοὺς*] Andocides I, 144—50, qui epilogus *δεινώσεως* est exemplum, haec iudicibus §. 145 promittit *ἐμοὶ ξενίαι καὶ φιλότητες πρὸς πολλοὺς καὶ βασιλέας καὶ πόλεις καὶ ἄλλους ἰδίᾳ ξένους γεγένηται, ὧν ἐμὲ σώσαντες μεθέξετε, καὶ ἔστιν ὑμῖν χρῆσθαι τούτοις ὅπου ἂν ἐν καιρῷ τι ὑμῖν γίνηται.* §. 149 *ὥστ' ἐμοὶ μὲν πειθόμενοι οὐκ ἀποστερεῖσθε εἴ τι ἐγὼ δυνήσομαι ὑμᾶς εὖ ποιεῖν· ἐὰν δὲ τοῖς ἐχθροῖς τοῖς ἐμοῖς πεισθῆτε, οὐδ' ἂν ὑστέρῳ χρόνῳ ὑμῖν μεταμελήσῃ οὐδὲν ἔτι πλέον ποιήσετε. μὴ τοίνυν μήθ' ὑμᾶς αὐτοὺς τῶν ἀπ' ἐμοῦ ἐλπίδων ἀποστερήσητε μήτ' ἐμὲ τῶν εἰς ὑμᾶς.*

v. 2. *καὶ διεξιόντες αὐτοῖς ὡς νῦν καιρὸς χάριτας ἡμῖν τῶν ὑπηργμένων ἀποδοῦναι*] Corinthii ap. Thucyd. I, 43. Andocides I, 147 seqq.

v. 8. *τίνων ἀγαθῶν ἐστερήμεθα ἢ στερισκόμεθα ἢ στερησόμεθα*] iam in exordio hoc dedit Demosth. pro Ctesiph. §. 5 *πάντων μὲν γὰρ ἀποστερεῖσθαι λυπηρόν ἐστι καὶ χαλεπόν, ἄλλως τε κἂν ὑπ' ἐχθροῦ τῳ τοῦτο συμβαίνῃ, μάλιστα δὲ τῆς παρ' ὑμῶν εὐνοίας καὶ φιλανθρωπίας, ὅσῳ περ καὶ τὸ τυχεῖν τούτων μέγιστόν ἐστιν.* vides oratoris artem, qui ita loquitur, quasi minus esset grave, si non ab inimico, sed ab amico hoc pateretur.

CAPUT XXXVII.

p. 84 v. 7. *τὸ δ' ἐξεταστικὸν εἶδος*] Aeschinis oratio in Timarchum integra fere est *ἐξεταστική*, vid. §. 8. et in conclusione §. 196 *τὰ μὲν οὖν παρ' ἐμοῦ δίκαια πάντα ἀπει-*

λήφατε· ἐδίδαξα τοὺς νόμους, ἐξήτασα τὸν βίον τοῦ κρινομένου.

v. 17. *ἐν μὲν τοῖς πολιτικοῖς συλλόγοις, ὡς οὐ φιλονεικίᾳ τὸ τοιοῦτον ποιοῦμεν*] i. e. *δικανικοῖς λόγοις*, conf. ad cap. 1. cuius usus vocabuli *πολιτικὸν* exempla requiro. Exemplum egregium est Aeschinis in Tim. §. 1—3. quod et de *δημοσίοις* valet.

v. 19. *ἢ ἔχθραν... ἢ φιλίαν*] accusativus non habet unde dependeat, scribendum est *ἔχθρα* et *φιλία*. nulla enim grammatica ratione superiora *προφάσεις ἐνεγκόντες* huc trahi possunt. amicitiam erga eos quorum vita examinatur qualem dicit? an quod non modo, qui examinantur, vituperantur, id quod plerumque fit, sed etiam laudari possunt, v. c. si amicum contra adversarii calumnias defendimus? at eos modo qui vituperentur, non qui laudentur, hic intelligi sequentia aperte demonstrant. iure igitur haesit in hoc loco interpres H. Knebel qui pro *ἐξεταζομένους* reponendum *διαδικαζομένους* vel simile censet: Freundschaft für die welche jene vor Gericht ziehen. id nemo probabit; nos deleto *ἢ* quod sequitur ante *ὅπως* sententiam restituimus, ea enim est amicitia, quod hac ratione eorum mores emendari possint.

p. 85 v. 10. *δεῖ δὲ πικρῷ τῷ ἤθει μὴ ἐξετάζειν ἀλλὰ πραεῖ*] Demosth. de cor. §. 256—66 suae et Aeschinis vitae rationem comparat *καὶ μὴν εἴ γε τὴν ἐμὴν τύχην πάντως ἐξετάζειν προαιρεῖ, πρὸς τὴν σαυτοῦ σκόπει, κἂν εὕρῃς τὴν ἐμὴν βελτίω τῆς σῆς, παῦσαι λοιδορούμενος αὐτῇ.* ibi §. 265 frequentatione dictorum vel *παλιλλογίᾳ* utens eadem verba quae noster dicit, *ἐξέτασον τοίνυν παρ' ἄλληλα τὰ σοὶ κἀμοὶ βεβιωμένα πράως, μὴ πικρῶς, Αἰσχίνη, εἶτ' ἐρώτησον τουτουσὶ τὴν ποτέρου τύχην ἂν ἕλοιθ' ἕκαστος αὐτῶν.* in Midiam §. 152—68 *λειτουργίαι* Midiae inquiruntur.

v. 12. *οἱ δὲ λέγοντες αὐτοὺς ἥκιστα διαβαλοῦσιν*] qui ea afferunt non calumniari videbuntur, quod fit, si suis vocabulis rem significaveris; quam maxime vero haec *διαβολὴ* vitanda est. *αὐτοὺς* Buhle, Bekkerus et ita EG, quod quo maior insit oppositio melius videtur; at neque se ipsos calumniantur qui hoc faciunt, et ambiguam orationem autor *ἥκιστα αὐτοὺς* scribens facile sustulisset.

CAPUT XXXVIII.

v. 21. *καὶ περὶ μὲν οὖν τοῦ λέγειν*] nunquam ita autor loquitur, qui aut *καὶ περὶ μὲν τοῦ* omisso *οὖν*, aut *περὶ μὲν οὖν* omisso *καὶ* dicit; delendum igitur cum DEG *οὖν*.

p. 86 v. 1. *διακοσμοῦντα ταῖς ἰδέαις ταῖς εἰρημέναις*] quis risum teneat, aut sophistam non miretur, arti tam deditum, ut ex huius praeceptis vitae rationem nobis gerendae explicet? Isocratis fere *μυροθήκην* mihi olere videor; in plurimis quae supersunt rhetorum scriptis tale quid frustra quaeres.

v. 2. *συμβάλλεται γὰρ ἡ περὶ τὸν βίον παρασκευὴ καὶ πρὸς τὸ πείθειν καὶ πρὸς τὸ δόξης ἐπιεικοῦς τυγχάνειν*] Aristot. Rhet. I, 2 *οὐ γὰρ ὥσπερ ἔνιοι τῶν τεχνολογούντων τιθέασιν ἐν τῇ τέχνῃ καὶ τὴν ἐπιείκειαν τοῦ λέγοντος ὡς οὐδὲν συμβαλλομένην πρὸς τὸ πιθανόν, ἀλλὰ σχεδὸν ὡς εἰπεῖν κυριωτάτην ἔχει πίστιν τὸ ἦθος.* ubi vid. quae adnotavimus; sed optime de hac re disseruit Isocrates Antid. §. 276—80 docens, qui arti rhetoricae recte incumbat, non humiles aut turpes res, sed magnas esse aggressurum, ut et recte agere et bene dicere instituatur; dignus est egregius locus qui integer transscribatur: *καὶ μὴν οὐδ' ὁ πείθειν τινὰς βουλόμενος ἀμελήσει τῆς ἀρετῆς, ἀλλὰ τούτῳ μάλιστα προσέξει τὸν νοῦν, ὅπως δόξαν ὡς ἐπιεικεστάτην λήψεται παρὰ τοῖς συμπολιτευομένοις. τίς γὰρ οὐκ οἶδε καὶ τοὺς λόγους ἀληθεστέρους δοκοῦντας εἶναι τοὺς ὑπὸ*

τῶν εὖ διακειμένων λεγομένους ἢ τοὺς ὑπὸ τῶν διαβεβλημένων, καὶ τὰς πίστεις μεῖζον δυναμένας τὰς ἐκ τοῦ βίου γεγενημένας ἢ τὰς ὑπὸ τοῦ λόγου πεπορισμένας; ὥσθ' ὅσῳ ἄν τις ἐῤῥωμενεστέρως ἐπιθυμῇ πείθειν τοὺς ἀκούοντας, τοσούτῳ μᾶλλον ἀσκήσει καλὸς κἀγαθὸς εἶναι καὶ παρὰ τοῖς πολίταις εὐδοκιμεῖν. καὶ μηδεὶς ὑμῶν οἰέσθω τοὺς μὲν ἄλλους ἅπαντας γιγνώσκειν ὅσην ἔχει ῥοπὴν εἰς τὸ πείθειν τὸ τοῖς κρίνουσιν ἀρέσκειν, τοὺς δὲ περὶ τὴν φιλοσοφίαν ὄντας μόνους ἀγνοεῖν τὴν τῆς εὐνοίας δύναμιν· πολὺ γὰρ ἀκριβέστερον τῶν ἄλλων καὶ ταῦτ' ἴσασι, καὶ πρὸς τούτοις ὅτι τὰ μὲν εἰκότα καὶ τὰ τεκμήρια καὶ πᾶν τὸ τῶν πίστεων εἶδος τοῦτο μόνον ὠφελεῖ τὸ μέρος, ἐφ' ᾧ ἂν αὐτῶν ἕκαστον τύχῃ ῥηθέν, τὸ δὲ δοκεῖν εἶναι καλὸν κἀγαθὸν οὐ μόνον τὸν λόγον πιστότερον ἐποίησεν, ἀλλὰ καὶ τὰς πράξεις τοῦ τὴν τοιαύτην δόξαν ἔχοντος ἐντιμοτέρας κατέστησεν, ὑπὲρ οὗ σπουδαστέον ἐστὶ τοῖς εὖ φρονοῦσι μᾶλλον ἢ περὶ τῶν ἄλλων ἁπάντων.

v. 21. *τὰς πράξεις δεῖ ταύτας ποιεῖσθαι*] scribendum esse *τοιαύτας* res ipsa docet, monuitque interpres H. Knebel. similiter ut *ἀπίστως* pro *ἄπιστος* quod libri habent reponeremus, grammatica flagitavit.

p. 87 v. 8. *ἐν μὲν τοῖς λόγοις ἐκ τῶν λελεγμένων ποιήσομεν βεβαιότητα περὶ ἡμῶν*] sic meliores libri et Veneta editio, plurimi cum Aldo *λεγομένων*, neutrum aptum praebet sensum; confutationem intelligit orationis, cui similitudo aliqua cum iis quae in vita agimus intercedere debet, quam non video. tum ambiguum est, utrum quae nos dicimus, an quae adversarius dicit, intelligenda sint; denique nihil est quod non ex oratione procedere debeat, ut huic rei verbum vix aptum sit. adversarium confutabimus, si contrarios locos dissolvamus; at dicit autor, fidem et confir-

mationem nobis in dicendo ad adversarium confutandum conciliabimus. id fit, si iusta sunt et legibus conveniunt quae dicimus. videndum igitur, ne tale quid fuerit scriptum ἐκ τῶν δικαίως καὶ νομίμως λεγομένων, quibus συμβόλαια κατὰ τοὺς νόμους τοὺς ἀγράφους καὶ τοὺς γεγραμμένους opponuntur.

v. 14. ἀναμνήσομεν . . . εἰπόντες] lacuna fuit antiquitus et desunt haec verba in ADV, supplementum nostrorum codicum dedit iam Venet. edit. margo, nisi quod ibi male τοὺς pro τοῦ excusum est et λέγειν excidit. Quaeritur utrum interpolatione sit illatum; de sententia nulla est dubitatio, neque verbis inest quod multum haereamus, quamvis μνημονικοὺς alibi in hoc libro non inveniatur et κεφαλαιωδῶς λέγειν περὶ minus sit usitatum. sed ratio, qua haec exciderint, facilius si vulgatam sequimur explicatur; omnia enim ab initio ἀναμνήσομεν . . . πράττομεν propter verbum repetitum ὁμοιοτελεύτῳ excidisse videntur, ab aliis ex ingenio, ab aliis libri vetusti autoritate suppleta. utrumque enim interpolatum esse non puto; evenit idem hoc loco quod supra cap. 34 vidimus.

v. 20. μεγάλα . . . μεταχειριζώμεθα] his amplificatio αὔξησις indicatur, ne quis male inserta esse coniiciat.

p. 88 v. 3. τὰς δὲ θυσίας δεῖ ποιεῖν] quae sequuntur ex primo libelli capite excerpta et paucis mutata, lector ut prae ceteris quae attenderentur digna repetiisse videtur. vid. quae ibi adnotavimus.

p. 90 v. 13. πόλει δὲ συμφέρον πλῆθος πολιτῶν] ἀγαθῶν addunt CFM, quod sensus ut aliquid addatur flagitat, sed aliud voluit autor cap. 1 πόλει δὲ συμφέροντα . . . συμμάχων ἀρετὴ καὶ πλῆθος.

ADDENDA.

p. 6 v. 12. *τοῦτο*] *τοιοῦτο* H. Sauppius.
p. 7 v. 25. *χρὴ ... ποιεῖν αὐτό*] *ὡς χρὴ ... ποιεῖ τοῦτο* idem.
p. 9 v. 13. *προεστάναι*] praestat fortasse *προϊστάναι*
p. 10 v. 21. fortasse *πολέμου*
p. 11 v. 15. *καλὰς*] *λαμπρὰς* ex p. 12, 8. 13, 1. 4. defendit Sauppius; idem post *συμβέβηκεν* excidisse *εἶναι* monet.
p. 14 v. 4. *ἀπὸ*] fortasse *ὑπὸ*
p. 15 v. 4. *καὶ συκοφαντεῖν τοὺς πολίτας* ad democratiam spectant, v. 3 post *ἐπιβουλεύειν* inserenda.
v. 8. *ὁμολογούμενόν τε*] malim *καὶ ὁμολογοῦντα*
v. 15. *ἔσται*] neque futurum placet, et *ἐπὶ τούτοις* nostro autori inusitatum; fortasse *ὑπεναντίος ἐστὶ τούτοις ἢ πρὸς μηδὲν*
v. 20. *καὶ τὰς τάξεις ... κατὰ συνθήκας*] scrib. *κατὰ τάξεις ... καὶ συνθήκας*
v. 23. distingue *προσδόκιμος, ἢ*
p. 16 v. 10. *εἶθ'*] scrib. *εἶθ', ut* verborum oppositio v. 5 *καὶ δύναμιν μεγάλην ἔχοντας* exciderit.
p. 17 v. 13. *διεξιόντα*] libri, scrib. *διεξιόντας*
v. 24. pro *πόλεμον* scrib. *πολέμου*
p. 19 v. 20. *ἐπισυμβαῖνον*] fortasse *ἐστὶ συμβαῖνον*
v. 28. *εἰσηγούμενον*] scrib. *εἰσηγουμένους*
p. 20 v. 22. fortasse *ἀγαθόν, τὸ τούτῳ ἐναντίον* et v. 24. *ἐὰν τὸ τούτῳ.*
p. 22 fine adnot. pro 22 *ἁμαρτήματα*] mg. E, *ἀδικήματα* EG. scribe: 21 *ἀδικήματα*] mg. E, *ἁμαρτήματα* EG.
p. 23 v. 14. distingue *πράξουσιν, ἀποτυχόντες*
p. 24 v. 12. *ἑαυτῷ*] fortasse et hic *σαυτῷ*
p. 28 v. 1. *ἢ καὶ αὐτὸ τοῦτο τὸ πρᾶγμα πολλάκις πεποιηκότες*] haec verba vix locum suum tenent; omnia enim *πάθη* praecedere debent; infra si inseruntur, verba perfecti temporis congruunt.
v. 5. *ἢ τινι τῶν ἄλλων αἰσθήσεων*] quinam hi sunt sensus?
p. 33 v. 31. *ὅθεν* E. scrib. *ὅθεν* M.
v. 32. *τοῖς* CF. dele F.
p. 39 v. 11. *συνάγοντα* libri, scrib. *συνάγοντας*
p. 44 v. 10. fortasse *ἀποδείξω*, quod verbum aliis quoque in locis praestat, ut 55, 1. 56, 9.
p. 55 v. 18. fortasse *πεισθεῖτε*. Halmius *πεισθήσεσθε*.
p. 56 v. 7. *τῇ*] *δεῖ* Halmius ut 58, 19.
v. 8. distingue *λέγειν, ὡς οὐδ'*
p. 68 v. 4. *ἀπολύσομεν* Halmius.
p. 72 v. 26. *κακολογοῦντες* prM., scrib. *λογοῦντες* prM.
p. 81 v. 5. *δεῖ διαιρεῖν ... λέγειν* Halmius.
p. 86 v. 31. *δεῖ*] om. M. scrib. *δὴ* M.
p. 88 v. 26. *τὰ* om. D. scrib. M.
p. 89 v. 30. ABV dele V.

BODLEIAN LIBRARY OXFORD